ἐξάμβλωμα, τό, τὸ προώρως γεννηθέν, ἔκτρωμα, Ἀρτεμίδ. 1. 51, ἔνθα δύναται νὰ ληφθῇ καὶ ὡς = τῷ ἑπομ. Ἴδε Θησ. Στεφ. ἐν λέξει.

ἐξάμβλωσις, **εως**, ἡ, ἀποβολή, πρόωρος γέννησις, Ἱππ. 33.17.

ἐξαμβλώσκω, = **ἐξαμβλόω**, Διοσκ. 2. 196· **ἐξαμβλώττω**, αὐτόθι 194.

ἐξαμβρῦσαι, ἴδε **ἐξαναβρύω**.

ἐξαμείβω: μέλλ. -ψω, ἀλλάσσω, μεταβάλλω, σαρκὸς ἐξαμείψασαι τρόμον, ἀποβαλοῦσαι τὸν τρόμον τῆς σαρκός, Εὐρ. Βάκχ. 607· ἐξαμειβούσης ἄλλην ἄλλοτε χρόαν Πλούτ. 2. 590C.—Μέσ., ἔργου δ' ἔργον ἐξημείβετο, ἓν ἔργον παρηκολουθεῖτο ὑπὸ ἄλλου, δηλ. ἄλλοι κατεγίνοντο εἰς τοῦτο, ἄλλοι εἰς ἐκεῖνο, καὶ ἄλλοι εἰς ἄλλο ἔργον, Εὐρ. Ἑλ. 1533· οὕτως ἀμεταβ. ἐν τῷ ἐνεργ., φόνῳ φόνος ἐξαμείβων, «φόνος φόνον διαδεχόμενος» (Σχόλ.), ὁ αὐτ. ἐν Ὀρ. 816. **II.** ἐπὶ τόπου, ἀλλάσσω τόπον, διαβαίνω, διέρχομαι, μετ' αἰτ., τὸν ἀμφίζευκτον ἐξαμείψας.. ἅλιον πρῶνα, δηλ. τὸν Ἑλλήσποντον, Αἰσχύλ. Πέρσ. 130, Εὐρ. Φοίν. 131· διέρχομαι διά τινος χώρας εἰς ἑτέραν, ἐξαμείψας Μακεδονίαν εἰς Θετταλίαν ἀφίκετο Ξεν. Ἀγησ. 2, 2· ἀπολ., ἀποσύρομαι, ἀναχωρῶ, ἀπέρχομαι, Εὐρ. Ὀρ. 272· οὕτως ἐν τῷ μέσῳ τύπῳ, διέρχομαι, διά τινος ὁ αὐτ. Ἀποσπ. 781. 41, πρβλ. Ἀνθ. Πλαν. 4. 255. **III.** ἐν τῷ μέσῳ τύπῳ, ἀνταμείβω, ποιναῖς ταῖσδέ μ' ἐξημείψατο μόνον παρ' Αἰσχύλῳ ἐν Πρ. 223, ἔνθα τὸ ἀντημείψατο εἶναι διάφ. γραφ. ἣν παρεδέξατο ὁ Blomf.— Πρβλ. **ἀμείβω**.

ἐξάμειψις, **εως**, ἡ, ἀλλαγή, μεταβολή, ταῖς κατ' οὐρανὸν ἐξαμείψεσι Πλούτ. 2. 426D·

ἐξαμέλγω: μέλλ. **-ξω**, ἐπὶ βρέφους, θηλάζω, βυζάνω, ἕλκω γάλα ἐκ τοῦ μαστοῦ, τόνδε δ' αἴδεσαι, τέκνον, μαστόν, πρὸς ᾧ σὺ.. ἐξήμελξας εὐτραφὲς γάλα Αἰσχύλ. Χο. 898. **II.** ἀμέλγω, «ἀρμέγω» ὅσον χρειάζεται πρός τινα ἀνάγκην γάλα, πλήρωμα τυρῶν ἐστιν ἐξημελγμένον; Εὐρ. Κύκλ. 209.

ἐξαμελέω, παραμελῶ ἐντελῶς, τῶν ἑωυτοῦ ἐξημεληκότα Ἡρόδ. 1. 97· ἀπολ., δεικνύω ἀμέλειαν, ἀδιαφορίαν, ἐπὶ δὲ τῶν γυναικῶν ἐξημέληκεν (ὁ νομοθέτης) Ἀριστ. Πολιτικ. 2. 9, 6.—Παθ., ἀπροσώπ., ἐν δὲ ταῖς πλείσταις τῶν πόλεων ἐξημέληται περὶ τῶν τοιούτων, παρημελήθησαν τὰ τοιαῦτα, ὁ αὐτ. Ἠθ. N. 10. 9, 13· ὡσαύτως ἐπὶ προσώπ., ἐξαμελουμένων [τῶν παίδων], παραμελουμένων, αὐτόθι 14, πρβλ. Πλουτ. Κάμιλλ. 18.

ἐξαμέρεια, ἡ, διαίρεσις εἰς ἓξ μέρη, Στοβ. Ἐκλογ. 2. 46.

ἐξα-μερής, **ές**, ὁ, ἐκ μερῶν ἓξ ἀποτελούμενος, ἐπὶ τοῦ ἐξαμέτρου, Ὀρφ. παρὰ Λογγίνῳ ἐν Ἀποσπ. 3.7.

ἐξά-μετρος [ᾰ], **ον**, ἐν τῇ στιχουργίᾳ ἑξάμετρον εἶναι στίχος συγκροτούμενος ἐκ ποδῶν ἕξ, κυρίως μὲν δακτυλικῶν, ἀλλὰ πολλάκις καὶ σπονδειακῶν (ἴδε Ἑλλην. Μετρικ. Σεμιτέλου σ. 329), ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε Ἡρόδ. 1. 47· ἐν ἔπεσι ἑξαμέτροις ὁ αὐτ. 7. 220· ποιηταὶ ἐπῶν ἑξαμέτρων Πλάτ. Νόμ. 810D· ἑξάμετρα (ἐξυπακ. ἔπη) Ἀριστ. Ρητ. 3.1, 9, κ. ἀλλ.

ἐξαμεύω, ἀποκινῶ, «ἐξήμευσαι· ἀποκεκίνησαι» Ἡσύχ.

ἐξαμηναῖος, **αία**, **ον**, = τῷ ἑπομ., Βίος Ἐπιφαν. 36D.

ἐξα-μηνιαῖος, **α**, **ον**, ἓξ μηνῶν, ἑξαμηνιαῖον βρέφος Ἀπολλόδ. 3. 4, 3, Γεμίνου Εἰσαγ. εἰς τὰ Φαιν. 24B.

ἐξαμηνία, ἡ, ὡς καὶ νῦν, ἓξ μηνῶν χρονικὸν διάστημα, Γ. Τορν, ἐπιστολ. ἐν Μιχ. Ἀκομν. τ. Β', σ. 423. 27, ἔκδ. Λ.

ἑξά-μηνος [ᾰ], **ον**, διαρκῶν ἓξ μῆνας, ἀρχαὶ Ἀριστ. Πολιτικ. 4.15,1., 5. 8· ἀνοχαὶ Πολύβ. 21. 3, 11:—ὡς οὐσ. **ἑξάμηνος** (ἐνν. χρόνος), ὁ, χρονικὸν διάστημα ἓξ μηνῶν, κοιν. «ἑξάμηνον», Ξεν. Ἑλλην. 2. 3, 9· ἑξαμήνου σῖτος, σῖτος δι' ἓν ἑξάμηνον, αὐτόθι 3. 4, 3· ἑξάμηνον, ἐπὶ ἓξ μῆνας, καταμήνια διαλείποντα.. ἑξάμηνον Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6.18, 22· ὡσαύτως, ἡ ἑξάμηνος (ἐνν. ὥρη) Ἡρόδ. 4. 25. **2)** ἓξ μηνῶν ἡλικίας, ὕες ἑξάμηνοι Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5.14, 12.

ἐξαμηχανέω, εὑρίσκω τρόπον ἀπαλλαγῆς ἔκ τινος ἀμηχανίας, εἰ μή τι τούτων ἐξαμηχανήσομεν Εὐρ. Ἡρακλ. 495.

ἐξαμιθρῆσαι (δ. γρ. **ἐξαμίθρησαι**) = **ἐξαριθμῆσαι**, Ἡρώνδ. Μιμίαμβ. 6. 98.

ἐξαμιλλάομαι: μέλλ. **-ήσομαι**: μετοχ. ἀόρ. **ἐξαμιλλησάμενος** καὶ **-ηθεὶς** Εὐρ. Ἑλ. 1471, 387: β' ἑνικ. τοῦ πρκμ. **ἐξαμίλλησαι** ὁ αὐτ. Ἀποσπ. 764: Ἀποθ. Ἀγωνίζομαι σφοδρῶς, ἀγωνίζομαι ἕως οὗ νικήσω τὸν ἀντίπαλόν μου, μετὰ συστοίχ. αἰτ., ὦ τὰς τεθρίππους Οἰνομάῳ.. ἁμίλλας ἐξαμιλληθείς, ὁ νικήσας τὸν Οἰνόμαον ἐν τῇ ἁμίλλῃ τῶν τεθρίππων ἁρμάτων, Εὐρ. Ἑλ. 387. **II.** ἀποδιώκω, ἐξαμιλλῶνταί σε γῆς Εὐρ. Ὀρ. 431· κάμνω τινὰ νὰ φεύγῃ ἔντρομος ὡς παράφρων, Εὐμενίδας, αἳ τόνδ' (τὸν Ὀρέστην) ἐξαμιλλῶνται φόβῳ αὐτόθι 38. **III.** ἀόρ. α' μετὰ σημασ. παθητικῆς, καταστρέφομαι ἐντελῶς, περὶ τοῦ ὀφθαλμοῦ τοῦ Κύκλωπος, σιγᾶτε πρὸς θεῶν, θῆρες.. ἔς τ' ἂν ὄμματος ὄψις Κύκλωπος ἐξαμιλληθῇ πυρὶ Εὐρ. Κύκλ. 628· ἀλλ' ὁ Κόβητος (Var. Lect. σ. 600) διατείνεται ὅτι τὸ σύνθετον δὲν ἔχει τὸν τόπον του ἐνταῦθα καὶ προτείνει ἀντ' αὐτοῦ τὸ **ἐξαμαλδυνθῇ**, δηλ. ἀφανισθῇ.

ἑξάμιτον, τό, (ἕξ, μίτος), ὕφασμα ὑφασμένον δι' ἓξ μίτων, τῶν ἑξαμίτων καὶ χρυσοπάστων στολῶν Νικήτ. Μαν. 2. 8, Βαλσαμ., κλ., πρβλ. **δίμιτον**.

ἔξαμμα, τό, (ἐξάπτω) λαβή, Λατ. ansa, Θεμίστ. 166A. **II.** πυρὸς ἔξαμμα, ἄναμμα ἐκ πυρός, Πλούτ. 2. 958E· τὸ ἀνάπτειν φλόγα, Εὐστ. Πονημάτ. 118.71.

ἐξαμματίζω, ἐπαλλάσσω, «ἐπαλλάξαντες· ἐξαμματίσαντες» Ἀπολλωνίου Λεξικ.·—καθ' Ἡσύχ. δέ: «ἐπαλλάξαντες· ἐφαμματίσαντες· ἐπιπλέξαντες· ἐναλλάξαντες· ἐξ ἀντεμβολῆς ἐπεκτείναντες».

ἑξα-μναῖος, **α**, **ον**, καὶ **ἑξά-μνους**, **ουν**, ἔχων ἀξίαν ἢ βάρος ἓξ μνῶν, Εὐστ. 1878. 57.

ἐξαμοιβή, ἡ, = ἐξάμειψις, Θεόδ. Πρόδρ.

ἑξά-μορος [ᾰ], **ον**, ἀντὶ **ἑξάμοιρος**, τὸ ἓν ἕκτον, ἑξάμορον κοτύλης Νικ. Θηρ. 549.

ἐξαμπρεύω, ἐξέλκω, ἐξαμπρεύσομεν τοῦτ' ἄνευ κανθηλίου Ἀριστοφ. Λυσ. 289.

ἐξαμυγδαλίζω, καὶ **ἐξαμυγδαλόω**, ἐγκολάπτω ἐπί τινος ἢ ἐγχαράττω σχήματα ἀμυγδάλων, τρεῖς κρατῆρες ἐξημυγδαλισμένοι Ἀκύλας ἐν Ἐξόδῳ ΚΕ', 33, ἄλλη γραφὴ ἐξημυγδαλωμένοι.

ἐξαμύνομαι [ῡ]: Μέσ., ἀπομακρύνω ἀπ' ἐμαυτοῦ, κράσεις ἠπίων ἀκεσμάτων, αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους Αἰσχύλ. Πρ. 483· αἶθον (αἶθρον Nauck) ἐξαμύνασθαι θεοῦ Εὐρ. Ἰκ. 208· ἀποκρούω, δὸς τόξα μοι.. οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεὰς ὁ αὐτ. Ὀρ. 269.—Ἐνεργ. παρὰ Θεμιστ. 284B.

ἐξαμυστίζω, ἐκπίνω τι ἀμυστί, ἀπνευστί, μονορροῦφι, Πλάτ. Κωμ. ἐν Ἀδήλ. 9.

ἐξαμφοτερίζω: μέλλ. Ἀττ. **-ιῶ**, καθιστῶ τι ἀμφίβολον, ὁ ἀδελφός σου ἐξημφοτέρικε τὸν λόγον, κατέστησε τὸν λόγον διφορούμενον, Πλάτ. Εὐθύδ. 300D, ἴδε Ruhnk. Τίμ. Κατὰ τὸν Μέγ. Ἐτυμ. (347. 7) «ἐξαμφοτερίσαι, τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι».

ἐξαμφοτέρως, ἐπίρρ., ἐξ ἀμφοτέρων τῶν μερῶν, τοῦ ζυγοῦ Ἀνών. Ἀποσπάσμ. ἐν Hultsch script. metrol. gr. I, σ. 305.

ἐξᾶν, Δωρ. ἀντὶ τοῦ **ἐξῆς**, Ἐπιγρ. Ῥόδου, Συλλ. Ἐπιγρ. 2565 6, Κῶ, Bull. d. cor. hell. VI. σ. 256.

ἐξαναβαίνω: μέλλ. **-βήσομαι**, ἀναβαίνω ἔκ τινος τόπου, ἐάν τις ἐξαναβῇ ὁδὸν καὶ ἐπὶ πέρας ἀφῖχθαι νομίσῃ Ἀρτεμίδ. 2. 28· ἀτραπὸν ἐξανάβα Ἑλλην. Ἐπιγράμμ. 782.

ἐξαναβαπτίζω = ἀναβαπτίζω, «'ξαναβαπτίζω», Λεόντιος Κύπρου 1685B.

ἐξαναβρύω, κάμνω νὰ ἀναβρύσῃ τι ἔκ τινος, ἅτ' ἐγὼ κατεύχομαι .. ἐπισσύτους βίου τύχας ὀνησίμους γαίας ἐξαμβρῦσαι φαιδρὸν ἁλίου σέλας, διὸ ἐγὼ κατεύχομαι τὸ φαιδρὸν σέλας τοῦ ἡλίου νὰ κάμῃ τὴν γῆν ν' ἀναβρύσῃ ἐν ἀφθονίᾳ ἀγαθὰ χρήσιμα εἰς τὸν βίον, Αἰσχύλ. Εὐμ. 925· τὰ ἀντίγραφα ἔχουσιν: ἐξαμβρόσαι, ὅπερ οὐδὲν δηλοῖ. Ὁ Scholefield εἰκάζει ἐξαμβράσαι, ὁ Δινδόρφιος προτείνει ἐξαμβρόξαι (ἴδε * **βρόχω**).

ἐξαναγεννάομαι, ὡς νῦν, «'ξαναγεννῶμαι», Ἰουλ. Ἐπιστ. 42.

ἐξαναγιγνώσκω, ἀναγιγνώσκω ἀπ' ἀρχῆς μέχρι τέλους, Πλουτ. Κάτων Νεωτ. 68, Κικ. 27, κτλ.

ἐξαναγκάζω: μέλλ. **-άσω**, ὡς καὶ νῦν, τὰ σὰ ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ Σοφ. Ἠλ. 620, Εὐρ., κλ.· παραλειπομένου τοῦ ἀπαρεμφ., Σοφ. Ο. Κ. 603, Ἀριστοφ. Ὄρν. 377· καὶ ἐν τῷ παθ., ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι Ἡρόδ. 2. 3. **II**. ἀποδιώκω, τὴν ἀργίαν πληγαῖς Ξεν. Ἀπομν. 2.1, 16.

ἐξανάγω: μέλλ. **-άξω**, ἐξάγω ἢ ἀναβιβάζω ἔκ τινος τόπου, Ἅδου τ' ἐρεμνῶν ἐξανήγαγεν μυχῶν πατέρα σὸν Εὐρ. Ἡρακλ. 218.—Παθ., ἐκπλέω, ἐπὶ προσώπων, ἐντεῦθεν ἐξαναχθέντα Ἡρόδ. 6. 98, κ. ἀλλ., Σοφ. Φιλ. 571, Θουκ. 2. 25, κτλ.· ἐπὶ πλοίων, Ἡρόδ. 7. 194.

ἐξαναδείκνυμι, ἀναδεικνύω, διακηρύττω, φανερώνω, ἀρετὴν κρήνης .. ἐξανέδειξεν Ἑλλ. Ἐπιγράμ. 1070

ἐξαναδίδωμι, ἐν τῷ παθ., αὐτίκα δὲ ἐξανεδόθη λόχμης ἠχός τις θαυμαστός, ἀνεδόθη ἐκ λόχμης, ἐγένετο, ἠκούσθη, Πλανούδ. Μετάφρ. Ὀβιδ. 14. 406.

ἐξανάδοσις, ἡ, ἐξάνθημα ἐπὶ τοῦ δέρματος, Ἀκύλας ἐν Λευΐτ. ΙΓ', 6, 18.

ἐξαναδύομαι, Ἀποθ., μετ' ἀορ. β' ἐνεργ. **ἐξανέδυν = ἀναδύομαι**, ἀναβαίνω εἰς τὴν ἐπιφάνειαν ἔκ τινος, ὡς ὁ δύτης ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης, μετὰ γεν., πολιῆς ἁλὸς ἐξαναδῦσαι Ὀδ. Δ. 405, Ε. 438· ἀφ' ὕδατος Βατραχομ. 133· γενέσεως ἐξαναδύντι, ἀνυψωθέντι ἐκ τοῦ βυθοῦ τῶν μεταβολῶν, Πλάτ. Πολ. 525B. **2**) διαφεύγω, ἐκφεύγω ἔκ τινος, μετὰ γεν., πέπονθά τοι οἷά τ' Ὀδυσσεύς, ὅστ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδὺς Θέογν. 1124· ἐξαναδύεσθαι μάχης Πλουτ. Σερτώρ. 12· ὡσαύτως μετ' αἰτ., κρυπτὸν λόχον ἐξαναδύντων Χρησμ. παρὰ Παυσ. 4 12, 4.

ἐξαναζάω, 'ξαναζῶ, ὡς καὶ νῦν, Καλλιμ. κ. Χρυσορ. στ. 2556, ἔκδ. Λ.

ἐξαναζέω, κάμνω τι νὰ βράσῃ καὶ νὰ φουσκώσῃ, τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον, «ἀναδώσει μανίαν, ὀργὴν» (Σχόλ.), Αἰσχύλ. Πρ. 370.

ἐξαναιρέω, ἐξάγω ἔκ τινος, ἐξανελοῦσα πυρὸς (παῖδα) Ὁμ. Ὕμν. εἰς Δήμητρα 255, πρβλ. Ἀπολλ Ῥόδ. Γ. 867.— Μέσ., ἦ καί σφ' Ἀθάνα γῆθεν ἐξανείλετο; Εὐρ. Ἴων 269.

ἐξαναισθητέω, ἀναισθητῶ ἐντελῶς, Πορφύρ. περὶ Ἀποχ. Ἐμψύχ. 1. 39.

ἐξανακαλύπτω, «ξεσκεπάζω», Μέσ. «ξεσκεπάζομαι»· «συγκεκαλυμμένος γὰρ καὶ καθεύδων (ὁ Στρεψιάδης) ὑποτίθεται ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος» Σχόλ. εἰς Ἀριστοφ. Νεφ. 3.

ἐξανακολυμβάω, περὶ τῶν κεφάλων, ἀνέρχομαι εἰς τὴν ἐπιφάνειαν τῆς θαλάσσης, ἐξαναδύομαι, διά τε τὸ ἐν ἰλύϊ διατρίβειν (οἱ κέφαλοι) ἐξανακολυμβῶσι πολλάκις Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 2. 26.

ἐξανακρούομαι, μέσ., ὑποχωρῶ, ἀναχωρῶ, τῇσι δὲ λοιπῇσι (νήσοι) οἱ βάρβαροι ἐξανακρουσάμενοι .. περιέπλωον κτλ. Ἡρόδ. 6. 115· πρβλ. **ἀνακρούω**.

ἐξανακτίζω, κτίζω ἐκ νέου, «'ξανακτίζω», τὴν Σαμαρέων πόλιν ἐξανακτίσας Τζέτζ. Ἱστ. 13. 7.

ἐξανακύπτω, ἀνακύπτω ἔκ τινος μέρους, παρουσιάζομαι, Εὐστ. Πονημάτ. σ. 26, 29.

ἐξαναλαμβάνω, «ἐξαναλάβω· Θουκυδίδης πρώτῳ» (ἐν τῷ νῦν κειμένῳ δὲν ὑπάρχει) Α. Β. 93. 9.

ἐξαναλάμπω, ἐκπέμπω ὡς λάμψιν, πύρινα ἐκ τοῦ πυρώδους, ὅπερ ὁ ἀὴρ ἐν ἑαυτῷ περιέχων ἐξανέλαμψε, ἤτοι ἐξανέθλιψε Ἐμπεδ. ἐν Στοβ. Φυσ. Ἐκλογ. 1. 25, σ. 506, ἔκδ. Heeren.

ἐξᾰνᾱλίσκω: μέλλ. **-λώσω**: παθ. πρκμ. **ἐξανήλωμαι**. Καταδαπανῶ, «κατεξοδεύω», ἐπὶ χρημάτων, Πομπήιος δέ, τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς Πλουτ. Πομπ. 20.— Παθ., τὰ ἀλλότρι' .. ἐξανήλωται ταχὺ Πλάτ. Κωμικ. ἐν «Φάωνι» 3· τὰ παρ' ἐμοῦ ἐξανηλωμένα Δημ. 1211. 6. **2**) ἐξαντλῶ, ἐξανήλωσεν ὁ ἥλιος [τὸ ὑγρὸν] Θεόφρ. π. Ἀνέμων 15, κτλ.· ἐξ. δύναμιν ἔν τινι Πλουτ. Κάτων Νεώτ. 20.— Παθ., ἐξαναλίσκομαι, ἐξαντλοῦμαι, Ἀριστ. π. Ζ. Γεν. 3. 1, 17· πόνος ἐξανηλώθη Βαβρ. 95. 44. **3**) καταστρέφω, ἐξαφανίζω ὁλοσχερῶς, ἐξαναλῶσαι γένος Αἰσχύλ. Ἀγ. 678.—Παθ., ὡσαύτως, ἐξανήλωνται δὲ οἵ τε ἴδιοι πάντες οἶκοι καὶ τὰ κοινὰ Δημ. 174. 13, Αἰσχίν. 68. 19· πρβλ. **δαπανάω**.

ἐξαναλύω: μέλλ. **-ύσω**, ἐλευθερῶ, ἀπαλλάσσω, ἄνδρα θνητὸν ἐόντα .. ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι Ἰλ. Π. 442, Χ. 180· Μοιρᾶν μίτον ἐξ. Συλλ. Ἐπιγρ. 6206.— Παθ., διαλύομαι ἐντελῶς, φθείρομαι, Φίλων 2. 620, 11.

ἐξανάλωσις, εως, ἡ, ἐντελὴς ἀνάλωσις, τῆς δυνάμεως ἐξανάλωσιν Πλουτ. Μάρκελλ. 24.

ἐξανανεόομαι, μέσ., ἀνανεώνω, συγγένειαν αὐτῶν ἐξανανεοῦνται τοῖς Ὀπουντίοις ὑπάρχουσαν Στράβων 425.

ἐξανανήφω, ἀνανήφω, Θησ. Στεφ.

ἐξαναξηραίνεται, διάφ. γρ. ἀντὶ **ἀναξηραίνεται** ἐν Θεοφρ. π. Ἀνέμ. 16.

ἐξαναπείθω, καταπείθω τινά, κτῶμαι τὴν εὔνοιαν αὐτοῦ, ἀνταίους δ' ἐξανέπεισε θεοὺς (ὁ Ὀρφεὺς καθαρίζων) Ἑρμησιάναξ παρ' Ἀθην. 597C· ἀλλ' ἴδε Ἑρμάννου Opusc. 4. 241.

ἐξαναπληρόω, ἀναπληρῶ ἐντελῶς, συμπληρῶ, πῶς εἰσὶ δίκαιοι ταῦτα μὲν ὕστερον ἀναπληροῦν κτλ. Δημ. 1229 ἐν τέλ. —Παθ., φύομαι ἢ πληροῦμαι ἐκ νέου, κοινῶς «γεμίζω», ἐπὶ φλοιοῦ, περιαιροῦσι δὲ τὸν φλοιὸν .. ἐξαναπληροῦται δὲ πάλιν σχεδὸν ἐν τρισὶν ἔτεσιν Θεόφρ. π. Φυτ. Ἱστ. 3. 17, 1.

ἐξαναπνέω, ἀνακτῶμαι τὴν ἀναπνοήν, ἰδίως μετά τι πάθημα, μόγις ἐξαναπνεύσας ἐλοιδόρησεν ὀργῇ Πλάτ. Φαῖδρ. 254C, Σοφ. 231C.

ἐξαναπτύσσω, ἀναπτύσσω, ἐξερμηνεύω, Τζέτζ. Ἱστ. 6. 41.

ἐξαναπτύω, ἐκπτύω πρὸς τὰ ἄνω, ἀναπέμπω, Ἅδης ὁ πικρὸς ἐκ φάρυγγος .. ὅλους Σατυρίωνας ἐξαναπτύει Θεόδ. Πρόδρ. 4. 161.

ἐξανάπτω: μέλλ. **-ψω**, ἐξαρτῶ, κρεμῶ τι ἔκ τινος, οἱ δ' ἐπωτίδων ἄγκυραν ἐξανῆπτον, ἀντὶ ἀνῆπτον ἄγκυραν ἐξ ἐπωτίδων, Εὐρ. Ι. Τ. 1351, πρβλ. 1408:—Μέσ., προσάπτω εἰς ἐμαυτόν, δύσκλειαν ὁ αὐτ. Ὀρ. 829. **II**. ἐκ νέου ἀνάπτω, πυρσὸν λόγοις Ἀνθ. Π. 5. 1, πρβλ. Πλούτ. 2. 752A.

ἐξαναρίζω = ἐξεναρίζω, παῖδ' ἄλκιμον ἐξαναρίζων Βακχυλίδ. V. 146 (ἐξεναρίζων Blass).

ἐξαναρπάζω, ἀναρπάζω ἔκ τινος μέρους, οἱ δ' ἐξανήρπασαν ταῦρον Εὐρ. Ἠλ. 1565, Ι. Α. 75.

ἐξανασκάπτω, ἀνασκάπτω καὶ ἐξάγω τι, ἰδίως ἀνασκάπτω τάφους, ἐκθάπτω ὀστᾶ, κτλ., Μαν. Κομν. 1. 2, σ. 72, 16.

ἐξανασπάω: μέλλ. **-άσω**, ἐξάγω τι βιαίως ἐκ τῆς ἑαυτοῦ θέσεως, τὰ ἀγάλματα .. ἐπειρῶντο ἐκ τῶν βάθρων ἐξανασπᾶν Ἡρόδ. 5. 85· μοχλοῖσιν ἐξανασπάσας βάθρων Εὐρ. Φοίν. 1132· ἀποσπῶ ἔκ τινος, ἐκριζόω, «ξερριζώνω», αἱ δὲ (μαινάδες) μυρίαν χέρα προσέθεσαν ἐλάτῃ κἀξανέσπασαν χθονὸς ὁ αὐτ. Βάκχ. 1110.

ἐξανάστᾰσις, εως, ἡ, τὸ ποιεῖν τινα ἀνάστατον, ἔξωσις, ἐκδίωξις, ὑπὲρ ὁλοσχεροῦς ἐξαναστάσεως αὐτῶν καὶ καταφθορᾶς Πολύβ. 2. 21, 9, κτλ.: ἀμεταβ., μετοικεσία, μετανάστασις, Στράβ. 102. **II**. ἀμεταβ., ὡσαύτως, ἡ ἐκ τῆς κλίνης ἔγερσις πρὸς κένωσιν, κοπιῇ γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος Ἱππ. Προγν. 40. 3. **2**) = **ἀνάστασις**, τὴν ἐξανάστασιν τὴν ἐκ τῶν νεκρῶν Ἐπιστολ. π. Φιλίππ. γ', 11.

ἐξαναστατόω, ἀναστατώνω, Γ. Παχυμ. τ. Α', σ. 426, 1, ἔκδ. Β.

ἐξαναστέφω, ἐπιτεταμ. ἀντὶ **ἀναστέφω**, Εὐρ. Βάκχ. 1055.

ἐξανάστημα, τό, «διὰ τὰ ἔνθεν καὶ ἐκεῖθεν οἰκοδομήματα ἢ ἄλλως ἐξαναστήματα» Εὐστ. εἰς Ὁμ. Ὀδ. σ. 1719. 39.

ἐξαναστράπτω, ἀναστράπτω ἔκ τινος, Ἐμπεδοκλ. π. Σφαιρ. 86, ἐν Φαβρ. Ἑλλ. Βιβλιοθ. τ. 2. σ. 482.

ἐξαναστρέφω, μετὰ γεν. τόπου, ἀνατρέπω τι ἔκ τινος, καταρρίπτω, δαιμόνων ἱδρύματα πρόρριζα φύρδην ἐξανέστραπται βάθρων Αἰσχύλ. Πέρσ. 812, Σοφ. Ἀποσπ. 767.

ἐξανάστροφα, ἐπίρρ. «'ξανάστροφα», ἀνάποδα, «ἐκάθισαν αὐτὸν ἐπὶ ὄνου σαγματωμένου ἐξανάστροφα, κρατοῦντα τὴν οὐρὰν αὐτοῦ» Θεοφάν. 682. 12, πρβλ. καὶ 628. 11.

ἐξανατείνω, προσηλώνω, νοῦν πρὸς αὐτὴν ἐξανατείνων ὅλον Νικήτ. Εὐγεν. 8. 130.

ἐξανατέλλω, κάμνω νὰ βλαστήσῃ ἔκ τινος, καὶ δὴ χθονὸς ἐξανέτειλαν ποίην πάμπρωτον Ἀπολλ. Ῥόδ. Δ. 1423· μεταφ., ἐκπέμπω, διεγείρω, περὶ τοῦ Περικλέους, ἐκ κεφαλῆς .. θόρυβον πολὺν ἐξανατέλλειν Τηλεκλείδης παρὰ Πλουτ. ἐν βίῳ Περικλ. 3. **2**) ἀμεταβ., ἐξέρχομαι, ἀναφαίνομαι, τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν ὄρνις Μόσχ. 2. 58·—«ἐξανέτειλε γὰρ ἡ λέπρα ἐν τῷ μετώπῳ αὐτοῦ» Σουίδ. ἐν λέξει **Ὀζίας Β**.

ἐξανάτριχα, ἐπίρρ., ὡς καὶ νῦν, «τὰ βεβαπτισμένα αὐτῶν νήπια ἀποσπογγίζουσιν (οἱ Βογόμυλοι) ἐξανάτριχα μετὰ μεμιασμένου ὕδατος καὶ οὔρων» Εὐθ. Ζυγαβ. ἐν Ἑλλ. Πατρολ. Μἰ. τ.131, σ.56.

ἐξαναφαίνω, καθιστῶ τι ἐμφανές, ἐπιδεικνύω, Ὀρφ. Ἀργ. 1354, ἀποδείκνυμι, περιΐστημι, Μανέθ. 153.

ἐξαναφανδόν, ἐπίρρ. = ἀναφανδόν, «ὁλοφάνερα», ἐρέω δέ τοι ἐξαναφανδὸν Ὀδ. Υ. 48.

ἐξαναφέρω: μέλλ. -ανοίσω, ἐπὶ τοῦ ὕδατος τῆς θαλάσσης, ἀναδιδάζω πρὸς τὴν ἐπιφάνειαν ἐκ τῶν κάτω, ἢ καὶ μᾶλλον ἡ θάλαττα τοὺς .. νηχομένους ἐξαναφέρει .., τοῦ γλυκέος ἐνδιδόντος διὰ κουφότητα Ἀριστ. Ἀποσπ. 209, πρβλ. Πλουτ. Πύρρ. 15, κτλ. καὶ (ἐξυπακ. τοῦ ἑαυτὸν) ἀνέρχομαι εἰς τὴν ἐπιφάνειαν, ὁ αὐτ. 2. 147C: — ἐξαν. λόγχης τύπον, ἐπιδεικνύειν τύπον λόγχης, αὐτόθι 563A. **II.** ἀμεταβ., ἀναλαμβάνω ἐκ νόσου, ἀπαλλάσσομαι αὐτῆς, μεταφ., ἔοικεν ὡς ἐν νοσήματι πατρῴῳ τῇ τυραννίδι κατειλημμένος, οὐ φαύλως ἐξαναφέρειν χρώμενος ὁμιλίαις ὑγιειναῖς, κτλ., ὁ αὐτ. 2. 147C· ἀντέχω, καρτερῶ, δοκεῖ δὲ μηδ' αὐτὸς Ὄθων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα ὁ αὐτ. ἐν βίῳ Ὄθωνος 9.

ἐξαναφύομαι. παθ. μετ' ἀόρ. β' ἐνεργ. **ἐξανέφῡν**, ἀναφύομαι ἔκ τινος, γαίης Ὀρφ. π. σεισμῶν 36.

ἐξαναχωρέω, ὑποχωρῶ, ἀποσύρομαι, ἐπὶ ἢ πρὸς τόπον Ἡρόδ. 1. 207., 4. 101· ἀπὸ .. ὁ αὐτ. 4. 196. **II.** μετ' αἰτ., ἐξανεχώρει τὰ εἰρημένα, ἐπεζήτει νὰ ἀποσύρῃ τὰ λεχθέντα, Θουκ. 4. 28.

ἐξανδραποδίζω, Ἡρόδ. 6. 94, Ξεν Ἑλλην. 2. 1, 15, ἀλλὰ τὸ πλεῖστον ἐν τῷ μέσ. τύπῳ **ἐξανδραποδίζομαι**, Ἡρόδ.; κλ. Ἀνδραποδίζω ἐντελῶς, ὑποδουλώνω, Ἀθήνας Ἡρόδ. 6. 94· τοὺς Τεγεήτας ὁ αὐτ. 1. 66, κτλ.· οὕτω καὶ ἐν Ἀνδοκ. 32. 6, Ξεν. κλ.· τῶν τεθνεώτων ἐξανδ. τοὺς βίους, δημεύειν τὰς περιουσίας τῶν ἀποθανόντων, Πολύβ. 32. 21, 11:—πρβλ. **ἀνδραποδίζω**. Ὁ Ἀττ. μέλλ. **ἐξανδραποδιοῦμαι**, Ἰων. -**εῦμαι**, ὅστις κατὰ τὸ πλεῖστον εἶναι μεταβατ. (ὡς ἐν Ἡροδ. 1. 66) λαμβάνει παθ. σημ. ἐν 6. 9: οὕτως ἀόρ. α' **ἐξηνδραποδίσθην** αὐτόθι 108, Δημ. 1207. 18· μετοχ. πρκμ. **ἐξηνδραποδισμένος** Λουκ. π. Διαβολ. 19.

ἐξανδρᾰπόδισις, εως, ἡ, τὸ ἀνδραποδίζειν τινά, καθιστᾶν αὐτὸν δοῦλον ἢ πωλεῖν αὐτὸν ὡς δοῦλον, Ἡρόδ. 3. 140.

ἐξανδραποδισμός, ὁ, = τῷ προηγ., Πολύβ. 6. 49, 1.

ἐξανδρόομαι, φθάνω εἰς ἀνδρικὴν ἡλικίαν, γίνομαι ἀνήρ, ἐξηνδρωμένος Ἡρόδ. 2. 64· ἐξανδρούμενος Εὐρ. Φοίν. 32, Ἀριστοφ. Ἱππ. 1241. **II.** λόχος δ' ὀδόντων ὄφεος ἐξηνδρωμένος, ὁ λόχος (τὸ στῖφος) ὁ ἐξανδρωθεὶς ἐκ τῶν ὀδόντων τοῦ ὄφεως, Εὐρ. Ἱκ. 703.

ἐξανεγείρω, ἀντὶ ἐξεγείρω, ἐν Εὐρ. Ἡρ. Μαιν. 1069, ἔνθα ὁ Ἕρμαννος τὸ ἐξεγειρόμενος τῶν ἀντιγράφων μετέτρεψεν εἰς ἐξανεγειρόμενος, ὅπως καταστήσῃ τὸν στίχον σύμφωνον τῇ ἑαυτοῦ θεωρίᾳ περὶ ἀντιστροφῆς, ἀλλ' ὁ Ναύκιος καὶ ἄλλοι ἐμμένουσιν εἰς τὸ ἐξεγειρόμενος.

ἐξάνειμι, μεταβαίνω ἔκ τινος μέρους εἰς ἄλλο, στόλον ἀνδρῶν Ἑλλάδος ἐξανιόντα μετὰ πτόλιν Αἰήταο Ἀπολλ. Ῥόδ. Β. 459· ἠελίου .. αἴγλη ὕδατος ἐξανιοῦσα, ἀνταναπλωμένη ἐκ τοῦ ὕδατος, ὁ αὐτ. Γ. 757· οὐρανοῦ ἐξανιόντα (οὐρανὸν εἰσανιόντα Meineke), ἀναβαίνοντα εἰς τὸν οὐρανόν, ἐπὶ ἀστέρων, Θεόκρ. 22. 8. **II.** ἐπανέρχομαι ἔκ τινος, ἄγρης ἐπανιὼν Ὕμν. Ὁμ. εἰς Πᾶνα 15.

ἐξανεμίζω, ἐπιτεταμένον ἀντὶ τοῦ **ἀνεμίζω**, Σχόλ. εἰς Ἰλ. Υ. 440.

ἐξᾰνεμόω, πληρῶ τι ἀνέμου, φουσκώνω, παθ., φυσῶμαι, πληροῦμαι ἀέρος, ἣν τεκούσης ὑστέρη ἐξανεμωθῇ Ἱππ. Γυναικείων τὸ Α', 603. 11· ἐπὶ θηλειῶν ἵππων μὴ δυναμένων νὰ συλλάβωσιν, λέγονται δὲ καὶ ἐξανεμοῦσθαι Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6. 18, 1· πρβλ. 10. 3, 14, Αἰλ. π. Ζ. 4. 6, Οὐεργ. Γεωργ. 3. 273 κἑξ.· ἐν Εὐρ. Ἑλένῃ 32, Ἥρα δὲ .. ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη, σημαίνει μετέβαλεν εἰς ἄνεμον, ἐματαίωσεν: — μεταφ., μωρίᾳ ἐξηνεμήθην, ἐπήρθην ἀνοήτως, «ἐπῆρ' ὁ νοῦς μ' ἀέρα», ὁ αὐτ. ἐν Ἀνδρ. 938. **II.** ἐν τῷ παθ., ἐπὶ σπαρτῶν, καταξηραίνομαι ὑπὸ σφοδροῦ ἢ διαρκοῦς ἀνέμου, ὃ καλοῦσί τινες ἐξανεμοῦσθαι Θεοφρ. π. Φυτ. Ἱστ. 8. 10, 3· σείομαι, κυματίζομαι ὑπὸ τοῦ ἀνέμου, αὐχμηραὶ ἐκ κεφαλῆς καὶ γενείων τρίχες ἐξηνεμοῦντο Ἀπολλόδ. 1. 6, 3. **III.** μεταφ., κάμνω τινὰ νὰ πράξῃ τι, καὶ εἰς δρόμον ἐξηνέμωσεν ἕτερον, τὸν ἔκαμε ν' ἀρχίσῃ νὰ τρέχῃ ἐκ νέου (ἡ ἀλώπηξ τὸν λαγόν), Αἰλ. π. Ζ. 13, 11:—Παθ., τὴν διάνοιαν ἐξηνεμώθη, ἐπήρθη, περὶ τῆς βασιλίδος τῶν Πυγμαίων Γεράνης, αὐτόθι 15. 29.

ἐξανέργαστος, πλημμελὴς γραφὴ παρ' Ἀρετ. (σ. 47), ἀντὶ **ἀνεξέργαστος**.

ἐξανερευνάω, ἐρευνῶ μετὰ προσοχῆς, Τζέτζ. Ἱστ. 5. 83.

ἐξανέρχομαι, ἀνέρχομαι ἔκ τινος, γῆς ἐξανελθὼν Εὐρ. Τρῳ. 748.

ἐξανερωτάω, διαπυνθάνομαι, Τζέτζ. Ἱστ. 6. 597.

ἐξανευρίσκω, ἐφευρίσκω, ἐπινοῶ, ὦ μῖσος, οἷα κἀξανευρίσκεις λέγειν Σοφ. Φιλ. 991.

ἐξανέχω: μέλλ. -**ξω**, κρατῶ ὑψηλὰ ἀπό τινος, ἀλλὰ τὸ πλεῖστον ἀμεταβ., ἐξέχω ἀπό τινος, κεῖθεν δὲ προτέρωσε μέγας καὶ ὑπείροχος ἀγκὼν ἐξανέχει γαίης, «ἔκκειται εἰς τὴν θάλασσαν» (Σχόλ.), Ἀπολλ. Ῥόδ. Β. 370· στάλαν .. ἐξανέχουσαν τύμβου, ἀνυψουμένην ἐκ τοῦ τύμβου, Θεόκρ. 22. 207. **II.** Μέσ. (παρατ. καὶ ἀόρ. μετὰ διπλῆς αὐξήσ. **ἐξηνειχόμην**, **ἐξηνεσχόμην**, πρβλ. **ἀνέχω**), ὑπομένω, ἀνέχομαι, μετὰ μετοχ., οὐ λόγων ἐγὼ ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων = ἄλγιον ἢ παντὸς ἄλλου ἀνδρὸς (λόγων), Σοφ. Ο. Κ. 1174, πρβλ. Φιλ. 1355, Εὐρ. Ἄλκ. 952· οὐ γὰρ ἐξηνέσχετο ἰδὼν Ἀριστοφ. Εἰρ. 702· οὐ .. ταῦτα παῖδας ἐξανέξεται πάσχοντας Εὐρ. Μήδ. 74, πρβλ. Ἀνδρ. 201· καὶ ταῦτα δόξανθ' Ὕλλος ἐξηνέσχετο; ὁ αὐτὸς Ἡρακλ. 967.

ἐξανέψιοι. οἱ, οἱ τῶν ἀνεψιῶν, δηλ. ἐξαδέλφων παῖδες, δεύτεροι ἐξάδελφοι, Πολύβ. παρ' Ἀθην. 440F, θηλ. **ἐξανέψιαι** Μένανδρ. ἐν Ἀδήλοις 406.—Πρβλ. **ἐξάδελφος**, καὶ περὶ τοῦ τονισμοῦ ἴδε Ἀμμώνιον ἐν σ. 54, ἔκδ. Valcken.

ἐξανθέω, ἔχω ἄνθη, γῆ ἐξανθοῦσα Ξεν. Κυν. 5, 5· ἀνθῶ, ἐπὶ ἀνθέων, Θεοφρ. π. Φυτ. Ἱστ. 4. 7, 2· ἐπὶ τῆς αὐξήσεως τῶν τριχῶν, ἐξ. ἡ τῆς ἥβης τρίχωσις Ἀριστ. π. Ζ. Γεν. 1. 20, 14:—μετὰ συστοιχ. αἰτ., οἳ τοιαῦτα ἐξηνθήκατε ποικίλα καὶ πολυειδῆ τὰς βαφὰς Λουκ. Ἀλ. 6· ἀναδίδω, παράγω, ἐξήνθησε φλόγα Πλουτ. Ἀλέξ. 35. σφῆκας ἵπποι κατασαπέντες ἐξανθοῦσι ὁ αὐτ. ἐν Κλεομένει 39. **2)** μεταφ.. ἀναφαίνομαι ἐπὶ τῆς ἐπιφανείας ὡς ἐξάνθησις, ὥσθ' αἱματηρὸν πέλαγος (πέλανον Ἄλδ.) ἐξανθεῖν ἁλὸς Εὐρ. Ι. Τ. 300· ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν ἄτης ἀναδιδοῦσα ἄνθος Αἰσχύλ. Πέρσ. 821· ἐκ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ δόξα Ἀριστ. Μετὰ τὰ Φυσ. 3. 5, 18· αὖθις ἐξήνθησαν αἱ κακίαι, ἀνεφάνησαν, Πλουτ. Θησ. 6.
3) ἐπὶ νοσημάτων, ἀναφαίνομαι, τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ, τὰ δ' ἐξανθοῦντα ἐς τὴν χροιὴν ἢ οἰδαίνοντα ἐν εὐδήλῳ Ἱππ. π. Τέχν. 6. 4· κἂν κατά μέρος τι τοῦ σώματος ἐξανθήσῃ λεύκη Ἀριστ. π. Χρωμάτ. 6. 3· φλυκταίναις μικραῖς καὶ ἕλκεσιν ἐξηνθηκὸς (τὸ σῶμα) Θουκ. 2. 49, πρβλ. Λουκ. Νεκρ. Διαλ. 20. 4· πέφυκεν ἡ ἀνδρεία τελευτῶσα ἐξανθεῖν μανίαις Πλάτ. Πολιτικ. 310D· τὸ ἔδαφος σκόλοψιν ἐξηνθήκει Λουκ. π. Ἀληθ. Ἱστ. 2. 30. **II.** παρακμάζω, ἀποβάλλω τὴν ἀνθηρότητά μου, Πλάτ. Πολιτ. 272D· ἐπὶ χρωμάτων, «ξεθωριάζω», ταχὺ γὰρ ἐξανθεῖ τὸ μίλτινον Πλούτ. 2. 287D· ἐπὶ οἴνου, «ξεθυμαίνω», ἐξανθεῖ γὰρ καὶ ἀποπνεῖ αὐτόθι 692C.

ἐξάνθημα, τό, ὡς καὶ παρ' ἡμῖν, Ἱππ. Ἀφορ. 1256, Ἐπιδημ. τὸ Α', 946, κτλ. (οὐχὶ **ἐξάνθισμα** ὡς ἡμαρτημένως πολλάκις τυποῦται).

ἐξάνθησις, εως, ἡ, = **ἐξάνθημα**, ἐξανθήσεις ἑλκώδεις Ἱππ. Ἀφορ. 1248· ἡ ἔκφυσις, «φύτρωμα», ἴουλος, ἡ πρώτη ἐξάνθησις τῶν ἐν τῷ γενείῳ τριχῶν Σχόλ. εἰς Ἀπολλ. Ῥόδ. Α. 972, κτλ. **II.** παρὰ Θεοφρ. (π. Φυτ. Αἰτ. 6. 15, 2) ἡ τῶν ἀντιγράφων γραφὴ **ἐξάνθησις**, διωρθώθη **ἐξάτμισις**, ἴδε ἔκδ. Wimmer.

ἐξανθίζω, κοσμῶ, στολίζω, ὡς δι' ἀνθέων, χρωματίζω διὰ ποικίλων χρωμάτων, περικοσμῶ, γυναῖκες .., αἳ καθήμεθ' ἐξηνθισμέναι Ἀριστοφ. Λυσ. 43, (ἔνθα κατά τινας τὸ: ἐξανθισμέναι, ἐκ τοῦ **ξανθίζεσθαι**, «κοσμεῖσθαι τὰς τρίχας, ἢ βάπτεσθαι αὐτάς», ὡς ἑρμηνεύει ὁ Ἡσύχ., εἶναι ὀρθοτέρα γραφὴ τοῦ ἐξηνθισμέναι ἐκ τοῦ **ἐξανθίζειν**)· ἐπὶ ἰχθύος, οἷον παρατέθεικ', οὐ πεφαρμακευμένον τυροῖσιν, οὐδ' ἄνωθεν ἐξηνθισμένον, κεκοσμημένον, Φιλήμων ἐν «Στρατιώτῃ» 1. 6· παντοίᾳ κομμωτικῇ .. ἐξηνθισμένη Ἡλιόδ. 7. 19. **II.** Μεσ., συλλέγω ἄνθη, ἐπὶ πλεῖστον ἐξανθίζεται τοῦ λειμῶνος Πλοὺτ. 2. 661F.

ἐξάνθισμα, -ισμός, πλημμελεῖς γραφαὶ ἀντὶ **ἐξάνθημα, -ησις**.

ἐξανθιστέον, ῥημ. ἐπιθ., δεῖ ἐξανθίζειν, περικοσμεῖν διὰ ζωηρῶν χρωμάτων, ἥδεϊαν τὴν ἐσθῆτα .. ἐξυφαντέον, οὐχὶ δὲ καθάπερ τὰς γραφὰς πρὸς τὸ τερπνὸν τῆς ὄψεως ἐξανθιστέον Κλήμ. Ἀλ. 237.

ἐξανθρᾰκόω: μέλλ. -**ώσω**, καίω τι ἕως οὗ μεταβληθῇ εἰς ἄνθρακα, Ἐτυμ. Μ. 392. 11.

ἐξανθρωπίζω, καταβιβάζω μέχρι τῶν ἀνθρώπων, καθιστῶ ἀνθρώπινον, θαυμάζοντα Σωκράτους ἀνδρὸς ἀτυφίᾳ καὶ ἀφελείᾳ μάλιστα δὴ φιλοσοφίαν ἐξανθρωπίσαντος Πλούτ. 2. 582B· ἐξανθρωπίζοντι τὰ θεῖα ὁ αὐτ. 360A· μή τις υἱὸν ἀκούσας ἐξανθρωπίσῃ τὸ Θεῖον Γρηγ. Νύσσ. τ. 2. 534:—Παθ., δεδιέναι μὴ ἐξανθρωπισθείητε, μήπως φανῆτε ὡς κοινοὶ ἄνθρωποι, περὶ τῶν αὐτοκρατόρων, Συνέσ. 14D. **II.** ἐπὶ πραγμάτων, ἐν τῷ Παθ., σιτία ἐξηνθρωπισμένα, κατάλληλα πρὸς χρῆσιν τῶν ἀνθρώπων, Ἱππ. 259. 16.

ἐξάνθρωπος, ον, ἔξω τῆς ἀνθρωπίνης φύσεως, ἀπάνθρωπος, Εὐστ. Πονημάτ. 63. 44. **II.** ἐνεργ., ποιῶν τινα ἔξω ἑαυτοῦ, ἐπιφέρων μανίαν, Ἀρετ. π. Αἰτ. Ὀξ. Παθ. 1. 6.

ἐξανίημι: Ἰων. παρατατ. **ἐξανίεσκον**, Ἀπολλ. Ῥόδ. Δ. 622: μέλλ. **ἐξανήσω**, ὡσαύτως -**ήσομαι** Εὐρ. Ἀνδρ. 718. Ἐκπέμπω, ἐξάγω, φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων, παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι Ἰλ. Σ. 471· καὶ τῆδε

κρήνην ἐξανῆκ' οἴνου θεὸς Εὐρ. Βάκχ. 707· ἐπισχέτω ξίφος δέρη πρὸς ἀνδρὸς αἷμά τ' ἐξανιέτω, καὶ ἂς κάμῃ νὰ ἐκρεύσῃ αἷμα, ὁ αὐτὸς Ι. Τ. 1460· τοιάσδ' ἀρὰς σφῷν .. ἐξανῆκ' ἐγώ, ἐξέπεμψα ἐναντίον ὑμῶν τῶν δύο, Σοφ. Ο. Κ.1375. 6) μετὰ γεν., ἐκπέμπω ἔκ τινος, τίς σε πολιᾶς ἐξανῆκεν γαστρός; Πινδ. Π. 4.176, πρβλ. Εὐρ. Φοιν. 670· ἐξακοντίζω, θύρσους ἐξανιεῖσαι χερῶν ὁ αὐτ. ἐν Βάκχ.762· νάματ' ὅσσων μηκέτ' ἐξανίετε ὁ αὐτ. Ἡρ. Μαιν. 625. 2) ἀφίνω τινὰ νὰ πράττῃ ὅ τι ἂν θέλῃ, τοὺς οὐδένας καταγελῶντας ἐξανήσει Εὐρ. Ι. Α. 372· παραχωρῶ, τῶν ἐνδόξων καὶ μεγάλων τὰ τῆς ἀρετῆς πρωτεῖα μὴ ἐξανιέντων (μεθιέντων Κοραῆς) τοῖς ἀσημοτέροις Πλουτ. Κάτων Πρεσβύτ. 11.—Παθ., ἀπαλλάσσομαι, ἐξανεθέντας τῶν πόνων Ἱππ. π. Φύσ.'Ανθρ. 230.14. 3) ὑφίημι, χαλαρώνω, λύω, πλεκτὰς ἱμάντων στροφίδας ἐξανήσομαι Εὐρ.'Ανδρ.718, Παθ., Πλούτ. 2. 788B. II. ἀμεταβ., χαλαροῦμαι, χάνω τὴν δύναμίν μου, Λατ. remittere, τά τε γὰρ ψύχεα ἐξανίει Ἱππ. π. Φύσ.'Ανθρ. 227. 21· ἐνδίδω, μετριάζομαι, κοπάζω, ἀνίκ' ἐξανείη δακέθυμος ἄτα (οὕτως ὁ Ἕρμαννος ἀντὶ τοῦ ἐξανίησι τῶν ἀντιγράφων) Σοφ. Φιλ.705· μετὰ γεν., ὀργῆς ἐξανεὶς κακῆς Εὐρ. Ἱππ. 980. 2) ἐπὶ ποταμοῦ, ἀναπιδύω, ἀναβλύζω, ἐκρέω, ὑμετέρης γαίης Ἀχελώιος ἐξανίησιν Ἀπολλ. Ῥόδ. Δ. 293· ἐμφανίζομαι, αὐξάνεται καὶ ἐξανίησι Ἀριστ. π. Θαυμ. 43.

ἐξανῑμάω, ἀνιμάω, ἀντλῶ ἔκ τινος· ἀφ' ἧς τὸ φίλον ἐξανιμᾶται πόμα Εὐγέν. παρὰ Bandin. Catal. Bibl. Medic. τ. 1. σ. 24, XX.

ἐξανίστημι, I. Μεταβατ. ἐν τῷ ἐνεστ., παρατ., μέλλ. καὶ ἀόρ. α': 1) ἀνεγείρω, ἢ τοὺς θανόντας ἐξαναστήσω ποτέ; Σοφ. Ἠλ. 940· κάμνω τινὰ νὰ ἐγερθῇ ἐκ τῆς θέσεώς του, Πλάτ. Πρωτ. 310A· ἀλλ' ἐγώ σ' ἕδρας ἐκ τῆσδ' ἐκοῦσαν ἐξαναστήσω τάχα Εὐρ. 'Ανδρ. 263, πρβλ. 268· ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν, κελεύει τοὺς ἐνεδρεύοντας νὰ ἐγερθῶσι, Ξεν. Ἑλλην.4.8,37. 2) κάμνω τινὰ νὰ καταλίπῃ τὸν τόπον του καὶ ν' ἀπέλθῃ, ἐκδιώκω, ἀποβάλλω, τοὺς Κᾶρας .. Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων Ἡρόδ.1. 171· ἐξαναστῆσαι ἐξ ἠθέων Παίονας ὁ αὐτ. 5.14, κτλ.· ἄνδρας δόμων Σοφ.'Αντ. 297· ἀλλ' οὐδ' ἐμοί τοι τοὐξανιστάναι πόλεως δίχ' ἐστὶ θάρσος ὁ αὐτ. Ο. Κ. 47· ὡσαύτως ἁπλῶς, ἐξαν. τινάς Ἡρόδ. 6. 127, Θουκ. 4. 48, κτλ., ἴδε κατωτ. II. 2. 3) ποιῶ ἀνάστατον, ἐρημώνω, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσῃς ἀναμάρτητον ἐοῦσαν Ἡρόδ. 1. 155 κ. ἀλλ., Θουκ. 7.77 κ. ἀλλ.· Ἰλίου ποτ' ἐξαναστήσας βάθρα Εὐρ. Ἰκ.1198· Ἑλλάδα ὁ αὐτ. Τρῳ. 926. 4) ἐπὶ θήρας, κάμνω τὸ θηρίον νὰ ἐξέλθῃ ἐκ τοῦ φωλεοῦ αὐτοῦ, ὡς ἐπιόντες τὰ θηρία ἐξανιστᾶιεν Ξεν. Κύρ. 2. 4, 20. II. ἀμεταβ. ἐν τῷ παθ. μετ' ἐνεργ. ἀόρ. β', πρκμ. καὶ ὑπερσ. 1) ἐξανίσταμαι, ἐγείρομαι ἐκ τῆς ἕδρας ἐν ᾗ κάθημαι, σηκώνομαι, τῶν δέ τις ἐξαναστὰς εἶπε Ἡρόδ. 3. 142., 5. 72, Σοφ. 'Αποσπ. 278, κτλ.· ἰδίως πρὸς ἔνδειξιν σεβασμοῦ πρός τινα, ὑπανίσταμαι, «προσηκώνομαι», ὡς τὸ Λατ. assurgere, ἐξανίστασθαί τινι θάκων Ξεν. Ἱέρων 7, 7· ὁδῶν ὁ αὐτ. Συμπ. 4, 31· ἐγείρομαι ὅπως ὁμιλήσω, Σοφ. Φιλ. 367· ἐγείρομαι ἐξ ἐνέδρας, λόχου Εὐρ. Ἠλ. 217· καὶ ἄνευ τῆς λέξεως λόχος, Θουκ. 3.107· ἐγείρομαι μετὰ τὸ φαγητόν, Πλάτ. Πολ. 328A, κτλ.· ἐκ τῆς κλίνης, λέχους Εὐρ. Ἠλ.786· ἐξ εὐνῆς Ξεν. Οἰκ.10, 8· ἐξαναστῶμεν εἰς τὴν αὐλήν, ἂς σηκωθῶμεν νὰ ὑπάγωμεν εἰς τὴν αὐλήν, Πλάτ. Πρωτ. 311A· εἰς περίπατον Ξεν. Συμπ. 9,1. 2) μετὰ γεν., ἐγείρομαι καὶ ἀπέρχομαι ἔκ τινος τόπου, μεταναστεύω, Λακεδαίμονος Πινδ. Π. 4. 86, πρβλ. Εὐρ. 'Ανδρ. 380· ἐκ τῆς γῆς τῆσδε Ἡρόδ. 4.115:— ἀπολ. σηκώνομαι, ἀπέρχομαι, Θουκ. 7. 49, κλ. 3) ἀποδιώκομαι ἐκ τῆς πατρίδος μου, ἀναγκάζομαι νὰ μεταναστεύσω, Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων .. ἐξαναστάντες Ἡρόδ. 1. 15, 56, κ. ἀλλ.· ἐκπίπτω, ἢ πρὸς δάμαρτος ἐξανίσταται θρόνων, ἐκπίπτει τῆς ἀρχῆς, Αἰσχύλ. Πρ.767. 4) ἐπὶ χωρῶν, ἐρημοῦμαι, ἐξαναστάσης πάσης Πελοποννήσου ὑπὸ Δωριέων Ἡρόδ. 2.171· Τροίης ἐξανεστάθη βάθρα Εὐρ. Ἠλ.1652, πρβλ. Δημ. 208.12. 5) σηκώνομαι νὰ ὑπάγω πρὸς ἀνάγκην μου, ἴδε τὴν λ. ἐξανάστασις II. 6) ὑψοῦμαι, ἐγείρομαι, ἔστι γὰρ ὄρος περίτομον, ἐξανεστηκὸς ἐκ τῆς περικειμένης χώρας εἰς ὕψος ἱκανὸν 1. 56, 4:— οὕτως ἐπὶ ἑλκῶν, ἄλλα γὰρ ἐπ' ἄλλοισι ἐξανίσταται Ἀρετ. Χρον. Παθ. Σημειωτ. 2.13, σ.70 ἔκδ. L. B.—Ἴδε Κόντου Φιλολογ. Σύμμ. ἐν Ἀθηνᾶς, τ. Δ', σ. 189.

ἐξανίσχω = ἐξανέχω, ἀνατέλλω, ἐπὶ τοῦ ἡλίου, Εὐστ. 419.17.

ἐξανοίγω, ἀνοίγω ἐντελῶς, Ἀριστοφ. Ἀχ. 391. Διόδ.1. 33.

ἐξανοιδέω, ἀνοιδέω ἔκ τινος, πρήσκομαι, φουσκώνω, ἐξανῳδεῖ τι τῆς γῆς Ἀριστ. Μετεωρ. 2. 8,15.

ἐξανοικτέον, ῥημ. ἐπίθ. τοῦ ἐξανοίγω, δεῖ ἐξανοίγειν, Ἀνων. στίχοι ἐν Band. Catal. Flor. τ.1, σ. 434.

ἐξάνοιξις, εως, τὸ ἀνοίγειν τι ὅπερ ἐκλείσθη, τῇ ἐξανοίξει τῶν στομάτων (τῶν διωρύχων) Στράβ. 740.

ἐξανορθόω, ἀνορθῶ τὸ πεσόν, σὺ γὰρ τἄμ' ἐξανώρθωσας μόνος Εὐρ. Ἀλκ.1138, οὕτως ὁ Pflugk καὶ Bothe κατὰ τὴν ἔκδ. τοῦ Ἀλδ., ἀλλὰ πολὺ βελτίων εἶναι ἡ ἔκδ. τοῦ Λασκάρεως (1496) ὡς συμφωνοῦσα τοῖς ἀντιγράφοις ἐν οἷς ἡ γραφὴ εἶναι: σὺ γὰρ δὴ τἄμ' ἀνώρθωσας μόνος. Οὕτως ἐξέδωκε καὶ ὁ Ναύκιος.

ἐξάντης, ες (πρβλ. κατάντης, προσάντης), «ὁ τῆς νόσου ἔξω ὤν» (Ἡσύχ.), ὑγιής, Ἱππ. 488. 39· ἐξάντη ἐποίησε τὸν ἑαυτῆς ἔχοντα Πλάτ. Φαῖδρ. 244E. 2) μετὰ γεν., ἐξάντης γίνεται τοῦ κακοῦ, ἀπαλλάσσεται, Αἰλ. π. Ζ. 3. 5· νόσου Κωμικ. Ἀνώνυμ.72.

ἐξαντλέω, ἀντλῶ ἔκ τινος, ἀντλῶ καὶ χύνω ἔξω, τὰ μὲν ἐξαντλοῦντας τὰ δὲ ἀποχετεύοντας Πλάτ. Νόμοι 736B:—Παθ., Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6. 16, 2: ἴδε ἐν λ. ἐπαντλέω. 2) μεταφ., ὑφίσταμαι, ὑπομένω μέχρι τέλους, Λατ. exantlare, exhaurire, καὶ νῦν ἐκείνων μεῖζον' ἐξαντλῶ πόνον Εὐρ. Κυκλ.10· παπαῖ· τὸν αὐτὸν δαίμον' ἐξαντλεῖς ἐμοί, ὑποφέρεις τὰ αὐτὰ βάσανα οἷα καὶ ἐγώ, αὐτόθι 110· τὸν αὐτὸν ἐξ. βίον ὁ αὐτ. Ἀποσπ. 456· διάγω, βίον οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια τηροῦντες Μένανδρ. ἐν «Ἀσπίδι» 5· περὶ τοῦ ἐν Εὐρ. Ἰκ. (838) χωρίου: μέλλων σ' ἐρωτᾶν, ἡνίκ' ἐξήντλεις στρατῷ γόους, κτλ., ἴδε Δινδόρφ. ἐν τόπῳ, πρὸς δὲ καὶ σημ. Paley ἐν τῇ ἐκδόσει αὐτοῦ. 3) ἐκκενῶ, Ἡσιόδ.1. 3· ἐκχέω, κατὰ σπουδὴν ἐξαντλῶν Λουκ. Τίμ.18· σπαταλῶ, μετὰ τῶν ἑταιρῶν ἐξαντλοῦντα ἢ τὸ πᾶν ἢ τὸ πολὺ τῆς οὐσίας Ἀλκίφρ.1. 21: ἐν τῷ παθ., πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος .. καὶ ἐξαντλούμενος (ἐγὼ ὁ Πλοῦτος) Λουκ. Τίμ. 17.

ἐξάντλησις, ἡ, ἐκκένωσις, ἐξάντλησις βορβόρου Εὐστ. Πονημάτ.71.79.

ἐξάντλημα, τό, θερμὸν λουτρὸν ἢ χλίασμα, Ἀρετ. Χρον. Παθ. Θεραπευτ. 2.12, σ.133, ἔκδ. L. B.

ἐξαντλητέον, δεῖ ἐξαντλεῖν, Ἄντυλ. παρ' Ὀρειβασ. II. 414.11.

ἐξάνυσις, εως, ἐπιτέλεσις, συμπλήρωσις, Εὐστ. Πονημ. 278. 9.

ἐξανυστέον, ῥημ. ἐπίθ. τοῦ ἐξανύω, δεῖ ἐξανύειν, Καν. τῆς ἐν Καρθαγ. Συν. ἐν Συντ. καν. τ. 3, σ. 457.

ἐξᾰνύω, Ἀττ. -ανύτω: μέλλ. -ύσω [ῠ], ἐκτελῶ, ἐκπληρῶ, Λατ. conficere, Θέτιδος δ' ἐξήνυσε βουλάς, «ἐτέλεσεν, ἐπλήρωσε» (Σχόλ.), Ἰλ. Θ. 370· θεῶν θέσμι' ἐξήνυσε Σοφ. Αἴ. 712· ἔμελλες ἐξανύσειν κακὰν μοῖραν αὐτόθι 926· τί μοι ἐξανύσεις χρέος ὁ αὐτ. Ο. Τ. 156· πάθεα Εὐρ. Ἴων 1066:—Μέσ., ἐπιτελῶ τι, τί δ' ἐγὼ κακῶν μῆχος ἐξανύσωμαι; ὁ αὐτ. Ἀνδρ. 536· τέκνοις τάφον ὁ αὐτ. Ἰκ. 285. 2) τελειώνω, ἀποτελειώνω, δηλ. φονεύω, Λατ. conficere, ἢ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας, «ὄντως δή σε καὶ μετὰ ταῦτα ἀπαντήσας κατεργάσομαι» (Σχολ.), Ἰλ. Λ. 365, Υ. 452· πρβλ. Εὐρ. Ἡρ. Μαιν. 1273. 3) ἐπὶ χρόνου καὶ ἀποστάσεως, φέρω εἰς πέρας, τελειώνω, ἁμέραν τάνδε ἐξανύσασα Εὐρ. Μήδ. 649· δρόμον, ἴχνος, πόρον ἐξ. ὁ αὐτ. ἐν Φοιν.164, Τρῳ. 232, Ι. Τ. 897:—ἀπολ. (ὡς τὸ ἀνύω I. 3), τελειώνω τὴν ὁδόν μου πρός τινα τόπον, φθάνω εἰς αὐτόν, ἐς ἢ ἐπὶ τόπον Ἡρόδ. 6. 139., 7. 183· ὡσαύτως μετ' αἰτ. τόπου, ἐξανύσαι τὰν .. νεκρῶν πλάκα (οὕτως ὁ Vauvill ἀντὶ ἐκτανύσαι) Σοφ. Ο. Κ. 1562· πόλον ἐξανύσας Εὐρ. Ὀρ. 1685· καθιστῶ, λαθίπονον δ' ὀδυνᾶν οὔτ' ἔνδοθεν οὔτε θύραθεν ἔστι μοι ἐξανύσαι Σοφ. Τραχ.1023. 4) μετ' ἀπαρ., κατορθώνω νὰ κάμω τι, Λατ. efficere ut .., ἐπειδὴ τοῖσιν οὐκ ἐξήνυτον Κύπριν κρατῆσαι, κατθανεῖν ἔδοξέ μοι κράτιστον Εὐρ. Ἱππ. 400. 5) Μέσ., λαμβάνω τι παρά τινος, παρὰ .. ματέρος ἐξανύσαντο θεᾶς ὁ αὐτ. Βάκχ.131, πρβλ. ἀνύω I. 7.

ἐξαπάγω = ἀπάγω, Γελάσ. 1256B.

ἐξαπαείρω, σηκώνω καὶ ἀποκομίζω, Φιλόξ. παρ' Ἀθην. 147E.

ἐξαπαιολεῖσθαι· «παραλογίζεσθαι» Ἡσύχ.

ἐξαπαιτέω, ἐπιτεταμ. ἀντὶ τοῦ ἀπαιτέω, Ἰουλιαν. 349B.

ἐξᾰ-πάλαιστος, ον, ἔχων μῆκος ἓξ παλαιστῶν, παλαμῶν, ἡμιπλίνθια .. ἐξαπάλαιστα Ἡρόδ.1. 50., 2. 149.

ἐξαπαλλάσσω, Ἀττ. -ττω, ἀπαλλάσσω ἔκ τινος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν Εὐρ. Ι. Α. 1004· ταλαίνης ἐξαπαλλάξει ζόης ὁ αὐτ. ἐν Ἑκάβῃ 1108, ἔνθα ἐξυπακουστέον: ἑαυτόν:—Παθ., ἀπαλλάσσομαι ἔκ τινος, κακῶν ἐξαπαλλαχθεὶς Ἡρόδ. 5. 4· τίς .. ἄλυπος ἄτης ἐξαπαλλαχθήσεται; Σοφ. Ἠλ. 1002 (ἔνθα τὸ ἄτης ἐξαρτᾶται ἐκ τοῦ ἄλυπος)· οὐκ ἔχων ὅπως τῶν εἰρημένων ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν, μὴ δυνάμενος πλέον ν' ἀπαλλαγῇ τῆς ὑποσχέσεως, ἐδέχθη τὸν πλοῦν, Θουκ. 4. 28· Κλέωνος ἀπαλλαγήσεσθαι αὐτόθι περὶ τὸ τέλος.

ἐξαπαλείφω, ἀπαλείφω τι ἐντελῶς ἔκ τινος, Μ. Ἀκομ. τ. Δ', σ.17, 24, ἔκδ. Λ.

ἐξαπαντάω, ἐξαπαντᾶν, διάφ. γραφ. παρὰ Ξεν. ἐν Κύρ. 3. 3, 24, ἀντὶ τοῦ ἀπαντᾶν.

ἐξαπαρτάομαι, παθ., κρέμαμαι, ἀλλ' ἄνω μετέωρον ἐξαπηρτημένην (τὴν ναῦν) ἄνεμος ἐμπεσὼν τοῖς ἱστίοις ἔφερε Λουκ. π. Ἀληθ. Ἱστ. Α. 9.

ἐξᾰπατάω, Ἰων. παρατ. ἐξαπάτασκον, Ἀριστοφ. Εἰρ. 1070 (ἐν ἑξαμέτρῳ):—Παθ., μέλλ. -απατηθήσομαι Πλάτ. Γοργ. 499 C· ἀλλὰ καὶ -απατήσομαι, ἐπὶ παθ. σημασ., οὔτε ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ μισθὸν λήψεσθαι Ξεν. Ἀν. 7. 3, 3·—

ἐξαπατῶ, δελεάζω, φενακίζω, ὡς καὶ νῦν, εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν Ἰλ. Ι. 371, πρβλ. Ὀδ. Ι. 414, Πίνδ. Ο. 1. 45, Ἡρόδ. 1. 153, κτλ.· ἐξ. τινα φρένας Ἀριστοφ. Εἰρ. 1099· ἐξ. καὶ φενακίζειν Δημ. 580. 5· ἐξαπατῶ γυναῖκα, Ἡρόδ. 2. 114· ὡσαύτως, ἐξ. τινά τι, ἔν τινι πράγματι, Ξεν. Κύρ. 3. 1, 19· ἐξ. ἐπί τινι Ἰσοκρ. 209C· ἐφ' οἷς ἐξαπατᾷς, διὰ τὰς ἀπάτας τὰς ὁποίας κάμνεις, Δημ. 577. 25· ἔστιν οὖν ὅστις τοῦτο ἂν δύναιτο ὑμᾶς ἐξαπατῆσαι, ὡς ὁ ἥλιος, κτλ., ὅστις θὰ ἠδύνατο νὰ ἐξαπατήσῃ ὑμᾶς εἰς τοῦτο, ὅτι κλ., Ξεν. Ἀν. 5. 7, 6, πρβλ. Πλάτ. Κρατ. 413D· ἐξαπατῶσι τὴν νόσον, καταπραΰνουσι τὸ πάθημα, Λουκ. Νιγρ. 7.— Παθ., ὡς ἐξαπατηθεὶς Ἡρόδ. 9. 94· ἐνόμιζον ἐξηπατῆσθαι Θουκ. 5. 42· ᾔδει ἐξαπατωμένη Ἀντιφῶν 113. 28· τὸ δεῖπνον ἐξαπατώμενος Ἀριστοφ. Σφ. 60·— τὸ μέσ. ἀκριβῶς ὡς τὸ ἐνεργ., Πλάτ. Κρατ. 439C, Stallb.

ἐξαπάτερθεν, «ἐκ τοῦ ἑτέρου» Ἡσύχ.

ἐξᾰπάτη, ἡ, τὸ ἐξαπατᾶν, ἐξαπάτησις, Ἡσ. Θ. 205, Θέογν. 390, Ξεν. Ἀν. 7. 1, 25.

ἐξᾰπάτημα, τό, ἐπιτεταμένον ἀντὶ τοῦ **ἀπάτημα**, Ἐτυμ. Μ. 791. 32.

ἐξαπάτης, ου, ὁ, ὁ ἐξαπατῶν, ἀπατεών, Ἱππ. 347. 9.

ἐξᾰπάτησις, εως, ἡ, ἐπιτεταμένον ἀντὶ τοῦ **ἀπάτησις**, Ἀθήν. 387E.

ἐξᾰπατητέον, ῥηματ. ἐπίθ. τοῦ **ἐξαπατάω**, δεῖ ἐξαπατᾶν, Πλάτ. Κρίτων 49E.

ἐξᾰπατητήρ, ῆρος, ὁ, ἐξαπατητής, ὁ ἐξαπατῶν, ψεύστας.. ἐξαπατητῆρας Ὁμήρου Κέρκωπες, Μοσχόπ. π. Σχεδ. 38. Πρβλ. Σουΐδ. ἐν λ. **Κέρκωπες** καὶ Ἁρποκρ. ἐν λ. **Κέρκωψ**.

ἐξαπατητής, ὁ, ὁ ἐξαπατῶν, Πρόκλ. Παράφρ. Πτολ. 3. 18, σ. 221, κτλ.

ἐξαπατητικός, ή, όν, ὁ ἐξαπατῶν, ὁ δυνάμενος νὰ ἐξαπατήσῃ, τοῦτο ἐξαπατητικὸν τῶν πολεμίων Ξεν. Ἱππαρχ. 4. 12, Σέξτ. Ἐμπ. π. Μ. 2. 93.— Ἐπίρρ. **-κῶς**, Πολυδ. Δ', 24.

ἐξᾰπᾰτύλλω, Κωμ. ὑποκορ. τοῦ **ἐξαπατάω**, ἀπατῶ τρόπον τινά, Ἀριστοφ. Ἀχ. 657, Ἱππ. 1144.

ἐξᾰπᾰφίσκω, Ἐπ. τύπος τοῦ **ἐξαπατάω**, Ἡσ. Θ. 537· ἀόρ. β' **ἐξήπᾰφον** Ὀδ. Ξ. 379· ὑποτακτ. **ἐξαπάφω** Ὀδ. Ψ. 97· μετοχ. ἀορ. **ἐξαπαφών**, **οῦσα**, Ὕμν. Ὁμ. εἰς Ἀπόλλ. 379, εἰς Ἀφροδ. 38, Εὐρ. Ἴων. 704· ὁ Ὁμ. ὡσαύτως ἔχει γ' ἑνικ. εὐκτικῆς μέσου ἀορ. ἐξαπάφοιτο μετ' ἐνεργ. σημασίας, Ἰλ. Ι. 376, Ξ. 160· ἀόρ. α' **ἐξαπάφησε**, Ὕμν. Ὁμ. εἰς Ἀπόλλ. 376, Κόϊντ. Σμ. 1. 137, Ὀππ. Ἁλ. 3. 94.

ἐξά-πεδος, ον, ἔχων μῆκος ἓξ ποδῶν, Ἡρόδ. 2. 149, Συλλ. Ἐπιγρ. 5594. 1. 62, πρβλ. **ἑξάπους** II.

ἑξά-πεζος, ον, ἔχων ἓξ πόδας, Λυκόφρ. 176, πρβλ. **ἑξάπους** I.

ἐξαπεῖδον, ἀπαρέμφ. **ἐξαπιδεῖν**, ἀόρ. ἄνευ ἰδίου ἐνεστ.— Ἐν χρήσει εἶναι τὸ **ἐξαφοράω**, παρατηρῶ μακρόθεν, Σοφ. Ο. Κ. 1648· — ἐκ τῶν ἅπαξ λεγ.

ἐξαπελαύνω, ἀποδιώκω ἔκ τινος τόπου, δόμων μ'.. ἐξ. Ἑλλ. Ἐπιγράμμ. 270.

ἑξά-πέλεκυς, εως, ὁ, ἡ, ἔχων ἓξ πελέκεις, ἐξ. ἀρχή, τὸ ἀξίωμα τοῦ Ῥωμαίου Πραίτωρος, Πολύβ. 3. 40, 9· ἐξ. ἡγεμὼν ἢ στρατηγὸς ἢ ἁπλῶς ἑξαπέλεκυς = **πραίτωρ**, ὁ αὐτ. 2. 24, 6., 3. 40, 11, κτλ.

ἐξαπεύχομαι, ἐπιτεταμ. ἀντὶ τοῦ **ἀπεύχομαι**, Τζέτζ. Ἱστορ. 13. 607.

ἑξά-πηχυς, υ, ἔχων μῆκος ἓξ πήχεων, Ἡρόδ. 2. 138, Ἱππ. π. Ἄρθρ. 834, Ξεν. Ἀν. 5. 4, 12· πρβλ. Λοβεκκ. Φρύν. 412.

ἐξάπινα, μεταγεν. τύπος τοῦ **ἐξαπίνης**, Ἑβδ. (Ἀριθμ. Δ', 20), Εὐαγγ. κ. Μάρκ. θ', 8.

ἐξαπίναιος ἢ **ἐξᾰπῑναῖος**, α, ον, ἢ ος, ον, = **ἐξαιφνίδιος**, Ἱππ. π. Διαίτ. Ὀξ. 388, Ξεν. Ἱέρων 10, 6, Πολύβ. 26. 6, 1, Καλλ. εἰς Δία 50.— Ἐπίρρ. **-ως**, Ἱππ. π. Ἄρθρ. 808, Θουκ. 3. 3, κ. ἀλλ.

ἐξᾰπίνης [ῐ], Ἐπίρρ., ἠπιώτερος τύπος τοῦ **ἐξαίφνης**, Ἰλ. Ο. 325, Ἀλκαῖος 27, Πινδ. Π. 4. 487, Ἡρόδ. 1. 74, 87, Ἱππ. Ἀφ. 1246· οὐδέποτε παρὰ Τραγ., καὶ σπανίως παρ' Ἀττ., ὡς ἐν Ἀριστοφ. Πλ. 336, 339, 815, Θουκ. 1. 50, Νικόλαος ἐν Ἀδήλ. 1. 6·— ἐν συνδυασμῷ μετ' οὐσιαστ., οὔτ' ἔαρ ἐξαπίνας, αἰφνίδιον ἔαρ, Θεόκρ. 9. 34, εἰ ἡ γραφὴ ὀρθή. Ὁ Valcken. διώρθωσεν: οὔτ' ἔδαρ ἐργατίναις καὶ τὴν διόρθωσιν αὐτοῦ παρεδέξατο ὁ Meineke.

ἐξάπινον, ἀμφίβ. γραφ. ἐν Ἱππ. 517. 19, ἀντὶ ἐξαπίνης.

ἐξᾰπλᾰσιάζω, πολλαπλασιάζω ἐπὶ ἕξ, Ἐτυμ. Μ. 595. 15· ἐν τῷ παθ.

ἑξᾰ-πλάσιος, α, ον, Ἰων. **-πλήσιος**, η, ον, ἑξάκις τόσος, ἑξαπλήσιος τοῦ κρητῆρος Ἡρόδ. 4. 81· ἀπολ., Πλουτ. 2. 1020Δ, 1028E·— ὡσαύτως, **ἑξαπλασίων**, ονος, ὁ, ἡ, Ἀριστ. π. Κόσμ. 6, 18.

ἑξά-πλεθρος, ον, ἓξ πλέθρων, ἔχων μῆκος ἓξ πλέθρων, Ἡρόδ. 2. 149.

ἑξά-πλευρος, ον, ἔχων ἓξ πλευράς, Πλωτῖν. 6. 3, 14.

ἐξαπλῆ, ἐπίρρ., ἐξαπλῶς, Διον. Ἀρεοπ.

ἐξᾰπλήσιος, η, ον, Ἰων. ἀντὶ **ἑξαπλάσιος**, Ἡρόδ.

ἑξᾰ-πλόος, όη, όον, συνῃρ. **-πλοῦς**, ῆ, οῦν, ὡς καὶ νῦν, Συλλ. Ἐπιγρ. 2554. 65· **τὰ ἑξαπλᾶ**, ἡ ἔκδοσις τῆς Παλαιᾶς Διαθήκης ὑπὸ τοῦ Ὠριγένους, ἐν ᾗ ἡ πρώτη στήλη περιέχει τὸ Ἑβρ. κείμενον, ἡ δευτέρα τὸ αὐτὸ δι' Ἑλληνικῶν γραμμάτων, ἡ τρίτη τὴν μετάφρασιν τοῦ Ἀκύλα, ἡ τετάρτη τὴν τῶν ἑβδομήκοντα, ἡ πέμπτη τὴν τοῦ Συμμάχου, ἡ δὲ ἕκτη τὴν τοῦ Θεοδοτίωνος, Εὐσέβ. II. 557 Δ, Ἐπιφάν. I. 1076Δ, κλ.

ἑξαπλόω, = **ἑξαπλασιάζω**, Μάξιμος ἐν Petav. Uranol. 338Α.

ἐξαπλόω, ἐκτυλίσσω, ἁπλώνω, οὐρανὸν ὥσπερ δέρριν ἐξαπλῶσαι Ψευδο-Λουκ. Φιλόπατρ. 17· ἐξ. τὴν χεῖρα Σέξτ. Ἐμπ. π. Μ.— Παθ., ἐκτυλίσσομαι, ἐξαπλώνομαι, εἰς τὴν γῆν Ἀριστ. π. Φυτ. 1. 6, 9· ὕπτιος ἐξήπλωτο, ἐπὶ νεκροῦ, Βατραχομυομ. 106. 2) ἀναπτύσσω, διασαφηνίζω, ἑρμηνεύω, Λατ. explicare, Σέξτ. Ἐμπ. Π. 1. 217, κλ.

ἐξάπλωσις, εως, ἡ, ἅπλωμα, ἐπέκτασις, αἱ τῶν ὑμένων ἐς πλάτος ἐξαπλώσιες Ἀρετ. π. Αἰτ. Ὀξ. Παθ. 1. 8· ἀντίθετον τῷ **πίλησις**, Φίλων 1. 385, 33. II. ἀνάπτυξις, ἐξήγησις, ἑρμηνεία, διὰ δὲ τῆς ἐξαπλώσεως ἐμφανίσομεν πόσα σημαίνουσιν (αἱ λέξεις) Ἐρωτιαν. ἐν τῷ προοιμ. σ. 18.

ἑξάπλωσις, ἡ, πολλαπλασιασμὸς διὰ τοῦ ἕξ, Μαξ. Ὁμολ. 1228B.

ἐξαποβαίνω, ἀποβαίνω ἔκ τινος, ἐξέρχομαι, ἐξαπέβησαν ἑταῖροι νηὸς Ὀδ. Μ. 306, Ἀπολλ. Ῥόδ. Γ. 199, κλ.

ἑξαποδία, ἡ, ἑξάμετρον, ὅσα περ ἔνδον πέφυκεν ἁπλῆς ἑξαποδίας Τζέτζ. π. Μέτρων, Ἀνέκδ. Κραμήρου τ. 3. σ. 322, 9.

ἐξαποδιδράσκω, ἀποδιδράσκω ἔκ τινος, Τζέτζ. ἐν Ἀνεκδ. Κραμήρου τ. 3. σ. 332, 30.

ἐξαποδίομαι, Ἀποθ., ἀποδιώκω ἔκ τινος τόπου, αἴ κεν Ἄρηα λυγρῶς πεπληγυῖα μάχης ἐξαποδίωμαι; Ἰλ. Ε. 763· ἀλλὰ γράφεται καὶ διῃρημένως ἐξ ἀποδίωμαι.

ἐξαποδύνω, ἀπεκδύομαι, εἵματα δ' ἐξαπέδυνε Ὀδ. Ε. 372.

ἐξαποθλίβω, ἀποθλίβω ἔκ τινος, ἐν τῷ παθ., τῶν βοτρύων νέκταρ θεῖον ἐξαπεθλίβετο Θεοδ. Ὑρτακ. Ἀνέκδ. Boiss. τ. 1. σ. 271.

ἐξαποκλύζω, ἀποπλύνω, καθαίρω, ἐξαποκλύσειας (κατὰ διόρθωσιν Κόντου ἐν Ἀθηνᾶς τ. Α', σ. 327) Μιχ. Ἀκομ. τ. Α', σ. 245, 26-7, ἀντὶ τοῦ **ἐξαποβλύσειας**.

ἐξαποκρούω, = ἀποκρούω, Μεταγεν.

Ἑξά-πολις, εως, ἡ, ὁμοσπονδία ἓξ πόλεων τῶν ἐν Ἀσίᾳ Δωριέων, Ἡρόδ. 1. 144, Σχόλ. εἰς Ἀριστοφ. Πλ. 385.

ἐξαπόλλῡμι: μέλλ. **-ολέσω** καὶ Ἀττ. **-ολῶ**, καταστρέφω παντελῶς, Αἰσχύλ. Χο. 837, Σοφ. Ἠλ. 588, Εὐρ. Ἡρακλ. 950, κτλ. II. παθ. μετὰ πρκμ. β' **ἐξαπόλωλα**, καὶ ἀόρ. β' **ἐξαπωλόμην**:— καταστρέφομαι ἐντελῶς, χάνομαι ἔκ τινος τόπου, μετὰ γεν., ἀλλ' ἅμα πάντες Ἰλίου ἐξαπολοίατ', «ἀλλ' ὁμοῦ πάντες ἐκ τῆς Ἰλίου ἀπόλοιντο» (Θ. Γαζῆς), Ἰλ. Ζ. 60· ἐξαπόλωλε δόμων κειμήλια Σ. 290· ἠέλιος δὲ οὐρανοῦ ἐξαπόλωλε Ὀδ. Υ. 327· σπέρμα πάσης ἐξαπόλλυται χθονὸς Αἰσχύλ. Ἀγ. 528:— ἀπολ., χάνομαι ἐξ ὁλοκλήρου, οὗτοι (οἱ Ψύλλοι) ἐξαπολώλασι τρόπῳ τοιῷδε Ἡρόδ. 4. 173, Σοφ. Ἀποσπ. 226.

ἐξαπολογία, ἡ, ἐπιγραφὴ τριῶν λόγων τοῦ Ἀντιφῶντος, δευτέρα ἀπολογία, ἀνταπάντησις· ἀλλ' ὁ Βεκκῆρος γράφει διῃρημένως **ἐξ ἀπολογίας** (τὴν γραφὴν ταύτην παρεδέξατο καὶ ὁ Blass). Πρβλ. **ἐκκατηγορία**.

ἐξαπονέομαι, παθ., ἐπανέρχομαι ἔκ τινος, σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι, σῶον δὲ ἐκ τῆς μάχης ὑποστρέψαι οὐ συνεχώρησεν, Ἰλ. Π. 252, Υ. 212· ἀλλὰ γράφεται καὶ διῃρημένως, μάχης ἐξ ἀπονέεσθαι.

ἐξαπονίζω: μέλλ. **-νίψω**, πλύνω καλῶς, ἀπονίπτω, τοῦ (τοῦ Ὀδυσσέως) πόδας ἐξαπένιζεν Ὀδ. Τ. 387.

ἐξαποξύνω, ἐπὶ ξύλου, κάμνω τὴν ἄκραν αὐτοῦ ὀξεῖαν, «μυτερήν», ἀκρεμὼν ἐλαίας ἔστιν ἐν δόμοισί τις, ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον, ἐς πῦρ καθήσω Εὐρ. Κύκλ. 456.

ἐξαποπατέω, ἐπιτεταμένον ἀντὶ τοῦ ἁπλοῦ **ἀποπατέω**, Ἱππ. 504. 7.

ἐξαποπέμπω, ἀποπέμπω ὅλως δι' ὅλου, Τζέτζ. Ἱστ. 3. 56.

ἐξαποπνέω, ἀποπνέω ἐντελῶς, ἐκπνέω, τὸν βίον ἐξαπέπνευσε Τζέτζ. Ἱστ. 3. 164.

ἐξαποπέτομαι, ἀποπέτομαι ἔκ τινος, Κ. Μανασσ. Χρον. 15D, Θεόδ. Πρόδρ. Γαλεομ. 324.

ἐξαποπτύω, ἀποπτύω, ἐκπέμπω, ἐξαποπτύον βόρβορον Τζέτζ. Ἱστ. 6. 7.

ἐξαπορέω, ἐπιτεταμ. ἀντὶ τοῦ ἁπλοῦ **ἀπορέω**, εὑρίσκομαι ἐν μεγάλῃ ἀπορίᾳ, Πολύβ. 4. 34, 1:— οὕτω καὶ ἐν τῷ μέσ. τύπῳ, πρὸς Κορινθ. Β' Ἐπιστ. δ', 8· καὶ ἐν παθ. ἀόρ. β', Διοδ. Ἀποσπ. 507. 89, Πλουτ. Ἀλχ. 5· ἐξαπορηθῆναι ἀργυρίου, εὑρεθῆναι ἐν μεγάλῃ χρηματικῇ ἀνάγκῃ, Διον. Ἁλ. 7. 18· παθ. πρκμ. ἐν Συλλ. Ἐπιγρ. 2058Α. 11.

ἐξαπορρέω, παθ. ἀόρ. **-απερρύην**, ἀπορρέω, ἐξαφανίζομαι, τὸ τοῦ προσώπου κάλλος ἐξαπερρύη Εὐσταθ. τὸ Καθ' Ὑσμ. 9, σ. 349.

ἐξαποσπάω, ἀποσπῶ, ἀπομακρύνω, Νικήτ. Εὐγεν. 2. 222.

ἐξαποστάζω, ἀποστάζω ἔκ τινος, χύνω, τὸ προσῆκον ἐξαποστάξαι δάκρυ Θεόδ. Πρόδρ. 8. σ. 377.

ἐξαποσταλτέος, α, ον, ὃν δεῖ ἐξαποστέλλειν ἢ ἐξαποστεῖλαι, Γλωσσ.

ἐξαποστειλάριον, τό, τροπάριον λεγόμενον ἢ ᾀδόμενον εὐθὺς πρὸ τῶν **αἴνων**, Στουδ. 1708Δ, Λέων 300. [Τὸ τροπάριον λεγόμενον ἢ ᾀδόμενον πρὸ τῶν **αἴνων** κατὰ τὴν Μεγ. Τεσσαρακοστὴν ὀνομάζεται **φωταγωγικόν**· καὶ ἐπειδὴ ἡ προστακτικὴ **ἐξαπόστειλον** ἐπαναλαμβάνεται σχεδὸν ἐν ἅπασι τοῖς **φωταγωγικοῖς**, εἶναι πολὺ φυσικὸν νὰ ὑποθέσῃ τις ὅτι τὸ ὄνομα **ἐξαποστειλάριον** ἀρχικῶς ἐδίδετο εἰς τὰ ὕστερον ὀνομασθέντα **φωταγωγικά**].

ἐξαποστέλλω, ἀποστέλλω μακράν, Πολύβ. 3.11, 1, Διόδ. 19. 102· ἐκπέμπω, ἐκδιώκω, ἐκ τοῦ παραδείσου Ἑβδ. (Γέν. Γ', 23 κ. ἀλλ.):—Παθ., ἐξαποστέλλομαι, Φίλιππ. παρὰ Δημ. 251, 5. **II.** ἀπολύω αἰχμάλωτον καὶ ἀποστέλλω αὐτὸν πρός τινα σκοπόν, ὁ δὲ Φίλιππος πεισθεὶς ἐξαπέστειλε τὸν Ἀμφίδαμον χωρὶς λύτρων Πολύβ. 4. 84, 3· ἀπολύω, ἀποπέμπω, χωρίζω τὴν γυναῖκά μου, Ἑβδ. (Δευτ. ΚΔ', 4).

ἐξαποστρέφομαι, ἀποστρέφομαι ἔκ τινος, Ἰωάνν. Γεωμέτρης παρὰ Bandin. Catal. Bibl. Medic. τ. 1. σ. 67.

ἐξαποστολή, ἡ, τὸ ἐξαποστέλλειν, Πολύβ. 1. 66, 2, κτλ., ἐν τῷ πληθ. 9. 5, 5.

ἐξαποτίνω, ἱκανοποιῶ ἐντελῶς, καταπραΰνω, οὕτω κεν τῆς μητρὸς Ἐρινύας ἐξαποτίνοις Ἰλ. Φ. 412.

ἑξά-πους, ὁ, ἡ, **-πουν**, τό, ἓξ πόδας ἔχων, Ἀριστ. π. Ζ. Μορ. 4. 6,16. **II.** = **ἑξάπεδος**, Λουκ. Κρον.17, Πλουτ. Λούκουλ. 37. **2)** ἐν τῇ στιχουργίᾳ, στίχος ἔχων ἓξ πόδας, τοῦτο τὸ μέτρον ἡρωϊκόν ἐστιν, ἑξάπουν, τέλειον, κατὰ πόδα δάκτυλον βαινόμενον Διον. Ἀλ. π. Συνθέσ. Ὀνομ. τ. 5. σ. 21, 7, ἔκδ. Reiske., πρβλ. **ἕξπους**.

ἐξαποφαίνω, ἐπιτεταμένον ἀντὶ τοῦ **ἀποφαίνω**, Λουκ. Ἡσίοδος 6.

ἐξαποφθείρω, καταστρέφω ἐντελῶς, Αἰσχύλ. Πέρσ. 464, Σοφ. Τρ.713.

ἐξαποχέω, ἀποχέω ἔκ τινος, κρήνης δὲ δίκην ὀφθαλμῶν ἐξαπεχεῖτο δάκρυ Τζέτζ. Ἱστ. 3. 327.

ἑξά-πρυμνος, ον, ὁ. ἐκ τοῦ μέρους τὸ ὅλον, ἔχων ἓξ πλοῖα, μετὰ ἓξ πλοίων, τὸν ἑξάπρυμνον, δηλ. τὸν Ἡρακλέα, «ὅτι ἓξ ναῦς ἔχων, **εἰς τὴν** Τροίαν ἦλθεν» (Σχόλ.), Λυκόφρ.1347, πρβλ. Ἰλ. Ε. 638.

ἑξα-πτέρυγος, ον, ἔχων ἓξ πτέρυγας, τὰ χρυσᾶ ἐκεῖνα ἀγάλματα, ἑξαπτέρυγον ἑκάτερον αὐτῶν Κλήμ. Ἀλ. 667, Γρηγ. Ναζ. II. 52Α, ἐπὶ τῶν **Σεραφίμ**.

ἐξαπτικός, ή, όν, ἁρμόδιος πρὸς ἔξαψιν, ἐξαπτικὴ παθῶν ὕλη Ἰω. Δαμασκ. σ. 756, ἔκδ. Mi.

ἑξά-πτυχος, ον, ἔχων ἓξ πτυχάς, Σχόλ. εἰς Ἰλ. Μ. 295, Ἡσύχ. ἐν λ. **ἐξήλατον** (ἔνθα ἐν τῇ δευτέρᾳ σημασίᾳ γραπτ. **ἑξήλατον** μετὰ δασείας).

ἐξάπτω: μέλλ. **-ψω**, δένω ἔκ τινος ἢ εἴς τι, πεῖσμα νεὸς .. κίονος ἐξάψας μεγάλης Ὀδ. Χ. 466, πρβλ. Ἰλ. Ω. 51· Φρύγια πέπλων ἀγάλματα ἐξάπτω χροὸς Εὐρ. Τρῳ.1220· τὴν πόλιν ἐξῆψε τοῦ Πειραιῶς καὶ τὴν γῆν τῆς θαλάσσης Πλουτ. Θεμιστ.19· οὕτως, ἐξάπτειν τι ἔκ τινος Ἡρόδ. 1. 26· ἀπό τινος Ξεν. Κυν.10,7· ὡσαύτως, ἐκ τοῦ νηοῦ ἐξάπτειν σχοινίον ἐς τὸ τεῖχος Ἡρόδ.1. 26· ἐξάψας διὰ τῆς θυρίδος τὸ καλῴδιον Ἀριστοφ. Σφ. 379.— Παθ., περὶ τὴν κεφαλὴν ἐξήμμεθα πηνίκην τινά, ἔχομεν προσηρμοσμένην περὶ τὴν κεφαλὴν φενάκην τινά, Ἀριστοφ. Ἀποσπ. ἐν τοῖς Ἀδήλ. 3, Meineke. **2)** μεταφ., τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω ἱκέτης, ἀφύλλους στόματος ἐξάπτων λιτάς, προσαρμόζων (οὕτως εἰπεῖν εἰς τὰ γόνατά σου) τὰς ἱκεσίας στόματος ἄνευ ἱκετηρίας, δηλ. ἄνευ ἱκετηρίων κλάδων, Εὐρ. Ὀρ. 383· τῆς τύχης ἐξάπτειν τὰ πραττόμενα, ἐξαρτᾶν ἐκ τῆς τύχης, Πλουτ. Σύλλ. 6· συνδέω ἓν πρᾶγμα πρὸς ἄλλο, ἐξακολουθῶ διήγησιν, ἔπειθ' οὕτως ἐξάψομεν τὴν διαδοχὴν τῶν ἀξίων λόγου Διογ. Λ. 8. 50· ἐξαμμένος ἐκ σώματος, προερχόμενος ἐκ τοῦ σώματος, Τίμ. Λοκρ. 102Ε. **3)** ἐξ. τινί τι, τιθέναι τι ἐπί τινος, ἱκετηρίαν γόνασιν Εὐρ. Ι. Α. 1216· κόσμον νεκρῷ ὁ αὐτ. Τρῳ.1208· ἐξ. βρόχον ἀμφὶ δείρῃν ὁ αὐτὸς Ἴων 1065. **II.** Μέσ., κρατῶ τι διὰ τῶν χειρῶν καὶ κρεμῶμαι ἐξ αὐτοῦ προσπαθῶν νὰ σύρω αὐτὸ κάτω, σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες πάντες ἐξάπτεσθε θεοί, πᾶσαί τε θέαιναι Ἰλ. Θ. 20· ἐξάπτεσθαι τῆς οὐραγίας, παρακολουθεῖν κατὰ πόδας, Πολύβ. 4. 11, 6· ἐπιλαμβάνομαί τινος, τῶν Ἑλληνικῶν ἐξάπτεσθαι κελεύοντος βασιλέως, ἐπιλαμβάνεσθαι τῶν Ἑλληνικῶν πραγμάτων, Πλουτ. Θεμ. 31. **2)** κρεμῶ τι ἐπάνω μου, φέρω τι κρεμάμενον περὶ τὸ σῶμά μου, φορῶ τι, τί πέπλους μέλανας ἐξήψω χροὸς λευκῶν ἀμείψασ' .. ; Εὐρ. Ἑλ. 1186· ἐπὶ πλοίου, δένω διὰ κάλου καὶ σύρω αὐτό, ῥυμουλκῶ, τὰς δ' ἀκεραίους (ναῦς) ἐξαπτόμενοι κατῆγον εἰς τὴν πόλιν Διόδ. 14. 74· ἐξάπτομαί τινα, κάμνω τινὰ νὰ ἐξαρτᾶται ἐξ ἐμοῦ, ξανθὰ καὶ διεκτενισμένα μειράκια, τοὺς ἐραστὰς ἐξαψάμενα καὶ τὰς ἑταίρας Φιλόστρ. 335· πρβλ. **ἐνάπτω**. **B.** ἐν τῷ ἐνεργ. προσέτι, βάλλω πῦρ, ἀνάπτω, τὰν ὕλαν Τίμ. Λοκρ. 97Ε. **II.** μεταφ., ἀνάπτω, διεγείρω, ἡνίκα ὁ Πέρσης τὸν μέγα πόλεμον ἐπὶ τὴν Ἑλλάδα ἐξῆψε Αἰλ. π. Ζ.12. 35. —Παθ., πῦρ ἐξ. ἐκ λίθων Ἀριστ. π. Ζ. Μορ. 2. 9,10· ἐξημμένος ὑπὸ φιλοσοφίας ὥσπερ πυρὸς Πλάτ. Ἐπιστ. 340Β, πρβλ. Πολ. 498Β· ἐξάπτομαι ὡς καὶ νῦν, ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐξαφθέντες Διον. Ἀλ. 5. 38.

ἑξάπτωτος, ον, (πτῶσις) ἔχων ἓξ πτώσεις, Πρισκιαν. 5.14, 77.

ἐξαπωθέω: μέλλ. **-ώσω** καὶ **-ωθήσω**, ἀπωθῶ μακράν, Εὐρ. Ῥῆσος 811.

ἐξαπώλεια, ἡ, ἐντελὴς ἀπώλεια, Γ. Παχυμ. τ. Β', σ. 232. 2., 402. 9, ἔκδ. Β.

ἑξά-πωλος, ον, ἐπὶ ἅρματος, τὸ συρόμενον ὑπὸ ἓξ πώλων ἢ ἵππων, τὸ δὲ ἅρμα ἦγεν ἑξάπωλον, ἵππων λευκῶν, μεγίστων τε καὶ ἀσπίλων Ἡρῳδιαν. 5. 6, 16.

ἐξάραγμα, τό, «σύντριμμα» Γαληνοῦ τῶν Ἱππ. Γλωσσ. Ἐξήγ. σ. 466.

ἐξᾰραιόω, -αίωσις, ἐπιτεταμ. ἀντὶ **ἀραιόω, -αίωσις**, Ἀρετ. Ὀξ. Νούσ. Θεραπευτ. 2. 6, π. Αἰτ. Ὀξ. Παθ. 2. 2.

ἐξαραιρημένος, ἐξαραίρηται, ἴδε τὸ ῥῆμα **ἐξαιρέω**.

ἐξαράομαι, ἀποθ., καταρῶμαι, μετὰ συστ. αἰτ., ἐκ δ' ἀρὰς κακὰς ἠρᾶτο τοῖσι τοὔργον ἐξειργασμένοις Σοφ. Ἀντ. 427. **II.** τελῶ εὐχάς, ἐπὶ ἱδρύσεως ναοῦ, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκεν (ὁ δῆμος τῶν Ἀθηναίων) πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξαράσασθαι, «ἐξαράσασθαι δέ ἐστι τὸ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχάς, ἃς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν εἰώθασι ποιεῖσθαι» (Ἁρποκρ.), Αἰσχίν. Κατὰ Κτησιφ. 32, 3. Διάφορ. γραφ. πρὶν ἐξειργάσθαι.

ἐξᾰράσσω, Ἀττ. **-ττω**: μέλλ. **-ξω**: ἐξάγνυμι, ἐκρήγνυμι, συντρίβω, ἐκ δέ οἱ ἱστὸν ἄραξε ποτὶ τρόπιν (Ἀρίσταρχος καὶ ἄλλοι ἄραξε, Ζηνόδοτος δὲ ἔαξεν) Ὀδ. Μ. 422· οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ ὀδόντας Σιμωνίδ. Ἀμοργ. 7 [8]. 17· κατασυντρίβω, τὴν ῥῖνα Ἱππ. 57· τὴν κιγκλίδ' ἐξήραξα Ἀριστοφ. Ἱππ. 641· πρβλ. Αἰλ. π. Ζ. 15. 16: μεταφ., οἷον ὑμῶν ἐξαράξω τὴν ἄγαν αὐθαδίαν Ἀριστοφ. Θεσμ. 704. **II.** μετ' αἰτ. προσ., πλήττω, προσβάλλω διὰ λοιδοριῶν, ὑβρίζω, κακολογῶ, λοιδορῶ, κἀγὼ οὐκέτ' ἐξηνεσχόμην, ἀλλ' εὐθὺς ἐξαράττω πολλοῖς κακοῖς καἰσχροῖσι ὁ αὐτ. ἐν Νεφ.1373.

ἐξαργέω, διατελῶ ἐν πλήρει ἀργίᾳ ἢ ἀδρανείᾳ, οἷον τῷ καθεύδοντι ἢ καὶ ἄλλως πως ἐξηργηκότι Ἀριστ. Ἠθ. Ν. 1. 8, 9· διὰ τὸ τὴν μὲν δύναμιν ἐξηργηκέναι αὐτὸν δὲ τρυφᾶν ὁ αὐτ. Πολιτικ. 5.10, 24. **II.** Παθ., ἀμελοῦμαι, παραμελοῦμαι ἐντελῶς, ἔργα δρῶμεν' οὐκέτ' ἐξαργούμενα Σοφ. Φιλ. 556· ὅσῳ τῇ φύσει βελτίων ἐστὶ (γῆ), τοσούτῳ μᾶλλον ἐξαργηθεῖσα δι' ἀμέλειαν ἐξαπόλλυται Πλούτ. 2. 2Ε.

ἐξάργματα, τά, (ἐξάρχομαι), ἀκρωτηριάσματα, ἥρως δ' Αἰσονίδης ἐξάργματα τάμνε θανόντος Ἀπολλ. Ῥόδ. Δ. 477, ἔνθα ὁ Σχολιαστὴς σημειοῦται: «οἱ δολοφονοῦντες ἀρχαίως ἀκρωτηριάσματά τινα ἐποίουν τοῦ ἀναιρουμένου· καὶ ταῦτα λαβόντες ἐξήρτων τοῦ τραχήλου αὐτῶν», κτλ.—Πρβλ. **μασχαλίσματα**, καὶ ἴδε σημ. Jebb ἐν Σοφ. Ἠλ. 445, ἴδε καὶ Σουΐδ. ἐν λέξει: **μασχαλισθῆναι** καὶ Ἐτυμ. Μ. ἐν σ.118. 32.

ἐξαργῠρίζω, ἰσοδύναμος τύπος τοῦ **ἐξαργυρόω**, εἰς ἀργύριον, εἰς χρήματα μεταβάλλω, πωλῶ, οὐδ' ἣν δέῃ τελευτῶντα τὴν ἑαυτοῦ στρωμνὴν ἐξαργυρίσαι (διάφ. γρ. ἐξαργυρῶσαι), δηλ. ἀργυρίου πωλῆσαι, Θουκ. 8. 81· ἐξαργυρίσας [τὴν οὐσίαν] Δημ. 59. 5· οὕτως ἐν τῷ μέσῳ τύπῳ, ἐξαργυρισάμενος τὴν οὐσίαν Πλούτ. 2. 850D· **ἐξαργυρίζομαί τι**, ἀποσυλῶ, διαρπάζω, καὶ ἐξαργυρισάμενος (τὸν οἶκον) πενίαν ὀδύρει, καὶ ἀφοῦ ἐξεγύμνωσας τὸν οἶκον παραπονεῖσαι ὅτι εἶσαι πένης, Ἰσαῖος π. Δικαιογ. Κλήρου 56, 43. **II.** λαμβάνω διὰ τῆς βίας ἀργύριον παρά τινος, ἐπειδὴ δὲ πάντας ἐξηργυρίσατο κατὰ τὸ δυνατόν, εἰσῆγεν εἰς τὸν δῆμον, κτλ., Πολύβ. 32. 22, 1.

ἐξαργυρισμός, ὁ, = τὸ **ἐξαργυρίζειν**, Ἰουστινιαν. Κῶδ. 12. 38, 19.

ἐξαργῠρολογέω, ἀργυρολογῶ, ὡς καὶ νῦν, Γ. Παχυχ. τ. Β', σ. 480.16, ἔκδ. Β.

ἐξαργῠρόω, μετατρέπω εἰς ἀργύριον, δηλ. εἰς χρήματα, τὰ ἡμίσεα πάσης τῆς οὐσίης Ἡρόδ. 6. 86, 1· πρβλ. **ἐξαργυρίζω**.

ἐξᾰρεσκεύομαι, Μέσ., ἀρέσκομαι, ἥδομαι ἔν τινι, Κλήμ. Αλ. 250.

ἐξαρέσκομαι: μέλλ. **-έσομαι**: Ἀποθ., ποιῶ ἐμαυτὸν ἀρεστόν τινι, ἀξιοῦμαι τῆς εὐνοίας αὐτοῦ, ὥστε ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας Ξεν. Οἰκ. 5, 3 καὶ 19. **2)** μετ' αἰτ. προσ., ἐξαρέσασθαί τινα δώροις, ἐξαγοράσαι αὐτὸν διὰ δώρων, Δημ. 1396. 26, πρβλ.1397. 3.

ἐξαρθρέω, ἐξαρθρόω, «στραγγουλίζω» μέλος τοῦ σώματος, ἢ ἐμόν, Ἱππ. π. Ἄρθρ 784.19, κτλ., ἢ ἄλλου τινός, μυθολογοῦσι δέ τινες ὅτι αἱ Ἀμαζόνες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν νήπιον

ἑὸν ἐξαρθρέουσι, αἱ μὲν κατὰ τὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία αὐτόθι 820. 20.—Παθ., ἐξαρθρέεται τὰ τοιαῦτα αὐτόθι 825. **II.** ἀμεταβ., ἐξαρθροῦμαι, ἐξαρθρήσαντα ὀστέα αὐτόθι 796.

ἐξάρθρημα, τό, ἐκτοπισμὸς ὀστοῦ, «στραγγούλισμα», Ἱππ. π. Ἄρθρ. 789, προσέτι **ἐξάρθρησις, εως**, ἡ, αὐτόθι 821.

ἔξαρθρος, ον, (ἄρθρον) ἐξηρθρωμένος, τοῦ δεξιοῦ σκέλους ἔξαρθρον γενέσθαι, παθεῖν ἐξάρθρωσιν κατὰ τὸ δεξιὸν σκέλος, Ἰωσήπ. Ἰουδ. Ἀρχ. 3.11, 6. **II.** ὁ ἔχων τὰς ἀρθρώσεις προεχούσας καὶ κακῶς ἐσχηματισμένας, ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασι Ἱππ. π. Ἄρθρ. 787. 6· πρβλ. **ἐξόφθαλμος**. — Κατὰ Σουΐδ. «ἔξαρθρος· ἐκμελής, ἐξωστεϊσμένος».

ἐξαρθρόω, ἐκβάλλω ἀπὸ τὴν κλείδωσιν, «στραγγουλίζω», Ἰωσήπ. Μακκ. 10. **II.** **ἐξηρθρωμένος**, = τῷ προηγ. II, Ἀριστ. Φυσιογν. 6, 14.

ἐξάρθρωμα, τό, **-θρωσις**, ἡ, = **ἐξάρθρημα, -θρησις**, Ἱππ. παρὰ Γαληνῷ.

ἐξἄριθμέω, ἀριθμῶ ἀκριβῶς, ἀριθμῶ ὅλον τὸ ποσὸν μετ' ἀκριβείας, Λατ. enumerare, τὸν στρατὸν Ἡρόδ. 7. 59, 60, κ. ἀλλ., Πλάτ. Πολ. 522D, Ἰσοκρ. 319C.—Παθ., τούτων μυριάδες ἐξηριθμήθησαν .. ἑβδομήκοντα σὺν ἱππεῦσι, κτλ., Ἡρόδ. 4. 87. **II.** ἐπὶ χρημάτων, καταβάλλω, πληρώνω τοῖς μετρητοῖς, Λατ. numeratim solvere, Θεογένης γὰρ ὁ Προβαλίσιος .. ἐν τῇ ἀγορᾷ ταῦτα τὰ χρήματ' ἐξηρίθμησε Δημ. 832. 4. **III.** ἀπαριθμῶ, τὸ μὲν ἐξαριθμεῖσθαι κατὰ μέρος ὑπὲρ τῶν προειρημένων πράξεων, οὐδὲν ἀναγκαῖον Πολύβ. 1. 13, 6· μετὰ μέσ. σημ., τὰς ἰδίας ἀρετὰς ἐξαριθμούμενοι Διον. Ἀλ. 5. 72· μετὰ πρκμ. παθ. ἐπὶ τῆς αὐτῆς ἐννοίας, Πολύβ. 9. 2, 1.—Παθ., αἱ δὲ ἀρχαὶ τῶν περιόδων .. ἐξηρίθμηνται Ἀριστ. Ρητ. 3. 9. 9.

ἐξαρίθμησις, εως, ἡ, ἀρίθμησις, Ἀππ. Ἐμφυλ. 2. 82, Δίων Κ. 43. 46. **II.** ἀπαρίθμησις, ἐξαρίθμησις τῶν πεπραγμένων αὐτῷ πρὸς Φίλιππον Πολύβ. 16. 26, 5.

ἐξαρκέω: μέλλ. **-έσω**: **I.** ἐπὶ πραγμάτων, ὡς καὶ νῦν, τοῦ σμικροῦ δ' ἔτι μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοὶ Σοφ. Ο. Κ. 6, πρβλ. 1116· ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι ἔσται τὸ λοιπὸν ὁ αὐτ. ἐν Φιλ. 459, κτλ.· ἔμοιγε ἐξ. ὃς ἂν μὴ κακὸς ᾖ Σιμωνίδ. 12. 9· ὁ βίος τῷ μήκει τοῦ λόγου οὐκ ἐξαρκεῖ Πλάτ. Φαίδων 108D· ἐξ. εἴς τι ὁ αὐτ. Λύσ. 185E· πρός τι ὁ αὐτ. Πολ. 526D, Ξεν. Ἀπομν. 4. 1, 5· μετ' ἀπαρ., μία μεσότης ἂν ἐξήρκει .. ξυνδεῖν Πλάτ. Τίμ. 32A· ἀπολ., εἶμαι ἀρκετός, μέτρια δ' ἐξαρκεῖν ἔφη Εὐρ. Ἰκ. 866, πρβλ. Ἀνδοκ. 31. 1· βραχὺς .. ἐξήρκει λόγος Δημ. 293, 25. **2)** ἀπροσώπ., **ἐξαρκεῖ**, εἶναι ἀρκετόν, ἀρκεῖ, «φθάνει», μετὰ δοτ. προσ., Πλάτ. Πρωτ. 330C κ. ἀλλ.· τῇ προσθήκῃ ἀπαρ., ἐξ. ἡμῖν ἡσυχίην ἄγειν Ἡρόδ. 7. 161· ἐξ. σώματι εἶναι σώματι ἢ προσδεῖταί τινος Πλάτ. Πολ. 341E· ἀλλ' ὡσαύτως, ἐξαρκέσει σοι τύραννον γενέσθαι ὁ αὐτ. Ἀλκ. Δεύτερος 141A· ἐξαρκέσει εἰπεῖν Δημ. 817. 11· οὐκ ἐξαρκεῖ μόνον τινί, δὲν εἶναι ἀρκετὸν δι' αὐτὸν ἁπλῶς νὰ .., Λυσ. 98. 29, Ἰσοκρ. 394A· μετὰ δοτ. προσ. καὶ μετοχ., ταῦτα ἔχουσιν οὐκ ἐξήρκεσεν αὐτοῖς Δημ. 1155. 7:—ἀπολ., οὐκ ἂν ἐξαρκέσειεν ὁ αὐτ. 557. 11· ἐξαρκεῖ, ἀρκεῖ, «φθάνει», Πλάτ. Γοργ. 503A, Ἱππ. Μείζ. 302B. **II.** ἐπὶ τοῦ ὑποκειμένου, ἐξαρκοῦμαι, ἐξαρκέων κτεάτεσσι, «ἀντὶ ἐξαρκούμενος· καὶ ἔστιν ἀλλοίωσις κατὰ διάθεσιν» (Σχόλ.), Πινδ. Ο. 5. 55· ἐπὶ νοσοῦντος, εἶμαι ἀρκούντως ἰσχυρός, ἀντέχω, συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νόσου Ἱππ. Ἀφορ. 1243. 28· ἢ πᾶσιν οὖν σ' ἔφυσεν ἐξαρκεῖν πατήρ; σὲ ἔκαμε λοιπὸν ὁ πατήρ σου τοιοῦτον ὥστε νὰ εἰμπορῇς νὰ τὰ βάλλῃς μὲ ὅλους; Εὐρ. Ἰκ. 574· ἀπολ., ἐξαρκέσας ἦν Ζεὺς ὁ τιμωρούμενος αὐτόθι 511:—μετὰ μετοχ., τὸν νοῦν διδάσκαλον ἔχουσα ἐξήρκουν ἐμοί, ἠρκούμην, ἤμην εὐχαριστημένος, ὁ αὐτ. Τρῳ. 648, πρβλ. Ἀριστοφ. Ἱππ. 524· πῶς ἂν .. ἐξαρκέσειε .. ἐκτίνων; πῶς ἠδύνατο νὰ ἐπαρκέσῃ .. πληρώνων, Ξεν. Ἱέρ. 7, 12· μετοχὴ δὲ ἐξυπακούεται μετὰ τὸ **ἐξαρκῶ** ἐν Ξεν. Ἀπομν. 2. 4, 7, πολλάκις δὲ ἃ πρὸ αὑτοῦ τις οὐκ ἐξειργάσατο ἢ οὐκ εἶδεν ἢ οὐκ ἤκουσεν ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸς τοὺς φίλους ἐξήρκεσεν (ἐξυπ. ἐξεργασάμενος, ἰδών, κτλ.). **III.** ἐπικουρῶ, βοηθῶ, φίλοις Πινδ. Ν. 1. 47.

ἐξαρκής, ές, ἀρκετός, ἱκανός, πλοῦτος ἐξ. δόμους Αἰσχύλ. Πέρσ. 237· ὡς ... τἄνδον ἐξαρκῆ τιθῶ, ὅπως βάλω εἰς τάξιν τὰ ἔνδον, Σοφ. Τρ. 334.

ἐξαρκούντως, Ἐπίρρ. ἐκ τῆς μετοχ. τοῦ ἐνεστ. τοῦ **ἐξαρκέω**, ἐπαρκῶς, ἱκανῶς, Ἀριστοφ. Βάτρ. 376, Πλάτ. Γοργ. 493C, Ἰσοκρ. 234C.

ἔξαρμα, τό, (ἐξαίρω), οἴδημα, πρήξιμον, ἢ μάλιστα τὸ ἔξαρμα ἦν Ἱππ. Ἐπιδημ. τὸ Δ', 1133F. **II.** ἡ ἄρσις, ἡ ὕψωσις τῶν οὐρανίων σωμάτων, τὸ ἔξαρμα τοῦ ἡλίου τὸ κατὰ τὰς μεσουρανήσεις ἐν ταῖς χειμεριναῖς τροπαῖς Στράβων 75· τοῦ πόλου Ἵππαρχος παρὰ Πτολ. 1. 4· μέγα λαμβάνων ὁ πόλος ἔξαρμα Πλουτ. Μάριος 11, Ἠθικ. 410E. **III.** μεταφ., ἐπὶ ἐμμελοῦς λόγου, ὕψος, ὄγκος, μέγεθος, «ἀείδειν δέ ἐστι τὸ ἐμμελῶς λέγειν, καὶ ᾠδὴ ὁ μεμελισμένος λόγος, ὃς καὶ ἔξαρμα ἔχει» Εὐστ. εἰς Ἰλιάδ. Ι. 5· ἐπὶ προσώπου, ἔξοχον πλεονέκτημα, «οὐδὲν ἔχων ἔξαρμα φύσεως (ὁ Διομήδης)» Σουΐδ. ἐν λέξει **Εὐπείθιος**.

ἐξαρμόζω, ἐν τῷ Παθ., ὑφίσταμαι διάλυσιν τῶν ἁρμῶν, τροχοὶ δ' ἅρματος ὁ μὲν ἐξήρμοσται τὰς κνήμας Φιλόστρ. 815. **II.** τὰ πλευρὰ .. ἔχοντες ἐξηρμοσμένα, καλῶς ἡρμοσμένα, Ἰωσήπ. Ἰουδ. Ἀρχ. 8. 3, 6.

ἐξαρμόνιος, ον, ἔξω τῆς ἁρμονίας, παράχορδος, ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς Φερεκρ. ἐν «Χείρωνι» 1, 9.

ἔξαρμος, ον, ἔχων τὰ μέλη ἐξηρθρωμένα, Ἰωάνν. Λυδ. 251. 3.

ἐξαρνέομαι: ἀόρ. **ἐξηρνησάμην** Ἡρόδ. 3. 74· ἀλλὰ παρὰ τοῖς Ἀττ. ἀείποτε **ἐξηρνήθην** Πλάτ. Συμπ. 192E, Νόμοι 949A. Ἀποθ. Ἀρνοῦμαι ὅλως διόλου, τὸν φόνον Ἡρόδ. ἔνθ' ἀνωτ.· οὐ τοῦτό γ' ἐξαρνήσομαι Εὐρ. Ἑλ. 579. κτλ.· ἤν τις ὀφείλων ἐξαρνῆται Ἀριστοφ. Ἐκκλ. 660· μὴ λαβεῖν ἐξαρνούμενος Δημ. 818. 24· οὐκ ἐξ. πράττειν Αἰσχίν. 89. 24.

ἐξάρνησις, εως, ἡ, τὸ ἐξαρνεῖσθαι, ἄρνησις, Πλάτ. Πολ. 531B. Ἐν τῇ Ἐκκλ. γλώσσῃ, ἀπάρνησις, ἀποκήρυξις, τοῦ βαπτίσματος Εἰρήν. 659B, κλ.

ἐξαρνητικός, ή, όν, ὁ ἔχων τὴν ἱκανότητα νὰ ἐξαρνῆται, νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς κἀντιλογικὸς Ἀριστοφ. Νεφ. 1172.

ἔξαρνος, ον, (ἀρνέομαι) ὁ ἐξαρνούμενος, ἔξαρνός εἰμι ἢ γίγνομαι = **ἐξαρνέομαι**, ἀπολ., νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ; Ἀριστοφ. Νεφ. 1230, Ἀντιφῶν 135. 25, Ἀνδοκ. 2. 38, κτλ.· οὐ γὰρ πώποτε ἔξαρνος ἐγενόμην μαθών τι Πλάτ. Ἱππ. Ἐλάττων 372C· ἐξ. εἶναι περί τινος Δημ. 679. 20· ὑπέρ τινος Διον. Ἀλ. 7. 34· ὡσαύτως, ἐξ. εἶναί τι Λυσ. 98. 41, πρβλ. Πλάτ. Χαρμ. 158C· ἀλλὰ τὸ πλεῖστον ἑπομένου **μὴ** μετ' ἀπαρ., ἐξ. ἦν μὴ .. ἀποκτεῖναι Σμέρδιν Ἡρόδ. 3. 66, πρβλ. Ἀριστοφ. Πλ. 241· ἐξ. γεγονέναι τὸ παράπαν μηδ' εἶναι ψεῦδος Πλάτ. Σοφ. 260D· ἑπομένου **μὴ οὐ** .., Λουκ. Νεκρ. Διάλ. 14. 1· ἑπομένου ἀπαρεμφ., πῶς γὰρ ἂν τολμῷμεν ἔξαρνοι εἶναι τὸ καλὸν μὴ οὐ καλὸν εἶναι; Πλάτ. Ἱππ. Μείζων 288C· ὡσαύτως, ἐξ. ἐγένετο ὡς οὐ .., Δημ. 921. 26· πρβλ. **ἄπαρνος**.

ἐξαρπάζω: μέλλ. -ξω καὶ -σω (ἴδε **ἁρπάζω**), ὡσαύτως **-άσομαι** Ἀριστοφ. Ἱππ. 708· ἀόρ. **ἐξήρπαξα** Ὅμ., **ἐξήρπασα** Ἡρόδ. καὶ Ἀττ. Ἁρπάζω ἔκ τινος, φῶτ' ἐξαρπάξασα νεὸς Ὀδ. Μ. 100· ἐξ. τι παρά τινος Ἡρόδ. 8. 135· τι ἐκ χερῶν τινος Εὐρ. Ι. Α. 315·— ἁρπάζω τινὰ ἐκ τῶν χειρῶν τινος καὶ σῴζω αὐτόν, τὸν δ' (τὸν Ἀλέξανδρον) ἐξήρπαξ' Ἀφροδίτη ῥεῖα μάλ'.. ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ Ἰλ. Γ. 380, πρβλ. Υ. 443, Χ. 597· ὡς ἐξαρπασόμενος τῆς πολιορκίας τὸν Μάριον Πλουτ. Σύλλ. 29.—Παθ., ἁρπάζομαι ἔκ τινος, τὸ νοτερὸν πᾶν ἐξαρπασθὲν Πλάτ. Τίμ. 60C.— Παθ. πρκμ. μετὰ μέσης σημ., οἱ μὲν ἐξηρπασμένοι σπεύδουσιν, οἱ ἁρπάσαντες τὴν Ἀντιγόνην καὶ Ἰσμήνην θεράποντες τοῦ Κρέοντος ἐπισπεύδουσιν αὐτάς, Σοφ. Ο. Κ. 1016· ἀλλ' ὑπάρχει καὶ γραφὴ ἐξηρπασμένην. Κατὰ τὸν F. W. Schmid διορθωτέον ἐξειργασμένοι ἐν ἀντιθέσει πρὸς τὸ ἐν τῷ ἑπομένῳ στίχῳ οἱ παθόντες, ἴδε μακρὰν σημ. Jebb, ὅστις ἐξέδωκεν ἐξειργασμένοι. **II.** ἀποσπῶ, ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα Ἀριστοφ. Ἱππ. 708.

ἔξαρσις, εως, ἡ, (ἐξαίρω) ὕψωσις, Κλεομήδ. 1. 1, 2. **II.** καταστροφή, Ἑβδ. (Ἱερεμ. ΙΒ', 17), Κλήμ. Ἀλ. 816. **III.** (ἐκ τοῦ παθ.), ἔγερσις, Ἑβδ. (Ἀριθμ. Ι', 6).

ἐξαρτάω, κρεμῶ τι ἔκ τινος, τοὺς θυρεοὺς ἐκ τῶν ὤμων ἐξηρτηκότες Πολύβ. 18. 1, 4· ἀπὸ ταύτης (τῆς κεραίας) ἐξήρτησαν ἐν λέβησιν ὅσα κτλ. Ἀρρ. Ἀν. Ἀλ. 2. 19, 2· ἄτοπος δὲ ὁ Ἀνακρέων ὁ πᾶσαν αὑτοῦ τὴν ποίησιν ἐξαρτήσας μέθης, ἐκ τῆς μέθης, Ἀθήν. 429B, Λόγγ. 1, 32· μεταφ., κάμνω τι νὰ ἐξαρτᾶται ἔκ τινος, ἐπαίνων ἐξ. τὴν δόξαν Πλουτ. Ἄρατος 1, πρβλ. Φάβιον 22· ὡσαύτως ἐν τῷ μέσῳ (ἴδε ἐν λ. **παιδεία**), Εὐρ. Τρῳ. 129· πρβλ. **ἐξάπτω**. **2)** ἐκτείνω τι, ὃ δὲ (τὸ μυθολογούμενον Ἰνδικὸν θηρίον μαρτιχόρας) ἀποστάδην αὐτὴν (τὴν οὐρὰν) ἐξαρτᾷ Αἰλ. π. Ζ. 4. 21. **II.** Παθ., τὸ πλεῖστον ἐν τῷ πρκμ. **ἐξηρτῆσθαι**, μέσ. μέλλ. **ἐξαρτήσομαι** Ξεν. Κύρ. 5. 4, 20·—τί δρᾷς; βιάζει χειρὸς ἐξαρτωμένη; ἐξαρτῶσα σεαυτὴν ἐκ τῆς χειρός μου, Εὐρ. Ἱππ. 325· περὶ τὸ γένειον ὁ αὐτ. Ι. Α. 1226, πρβλ. Ἀριστοφ. Εἰρ. 470· ἔκ τινος Ἀριστ. π. τὰ Ζ. Ἱστ. 1. 16, 16, κ. ἀλλ.· περὶ τῆς καρδίας, κατὰ μὲν τὴν μεγίστην κοιλίαν ἐξήρτηται τῇ μεγίστῃ φλεβὶ αὐτόθι 17, 5. **2)** ἐξαρτῶμαι ἔκ τινος, σοῦ γὰρ ἐξηρτήμεθα Εὐρ. Ἰκ. 735, κτλ., πρβλ. Ξεν. Κύρ. 5. 4, 20· ἔκ τινος Πλάτ. Ἴων 536A, Νόμοι 732E, κτλ. **3)** ἐπὶ χωρῶν, συνορεύω, γειτνιάζω, τινος Πλουτ. Ἀντών. 46. **4)** ἐπὶ λύχνου, κρέμαμαι ἔκ τινος μέρους ὅπως φέγγω, Ἀριστοφ. Ἐκκλ. 2· ὑπέρκειμαι, ἐξήρτηται τὸ χωρίον Θουκ. 6. 96· ἐξήρτηται ἡ χώρα πρὸς Νότον (Casaub. ἐξῆρται) Στράβ. 290. **5)** κρεμῶ ἐπάνω μου, πῆραν ἐξαρτήσασθαι Λουκ. Δραπέτ. 14·— ἰδίως ἐν τῇ μετοχ. τοῦ παθ. πρκμ. μετ' αἰτ. πράγμ., ἔχων τι κρεμάμενον ἔκ τινος, ἐπιστολὰς ἃς ἐξηρ-

τημένος ἐκ τῶν δακτύλων περιήεις (πρβλ. τὸ τοῦ Ὁρατίου suspensi loculos), Αἰσχίν. 77. 11· παιδίον ἐξηρτημένον τοῦ τραχήλου Πλουτ. Βροῦτος 31· ἐντεῦθεν (ὡς τὸ ἐξηρτυμένος μ. δοτ. πράγμ.), ἔχων ἢ ἐφωδιασμένος μέ τι, πώγωνας ἐξηρτημένας Ἀριστοφ. Ἐκκλ. 494· ἐξηρτῆσθαι στρατόπεδον Δημ. 123. 28: — περὶ τῶν ἐν Αἰσχύλ. Περσ. 711 καὶ Θουκ. 6. 17 χωρίων ἴδε τὸ ῥῆμα **ἐξαρτύω**.

ἐξαρτηδόν, Ἐπίρρ. «κρεμαστά». Καθ' Ἡσύχ., «μετὰ τοῦ ἐκκρεμάσθαι».

ἐξάρτημα, τό, τὸ ἐξαρτώμενον, κρεμάμενον ἔκ τινος, ὁ **δελφὶς** π. χ., ὄργανον ναυτικόν, ὅπερ μετεχειρίζοντο ἐν ταῖς ναυμαχίαις πρὸς καταπόντισιν ἐχθρικοῦ πλοίου, ὀνομάζεται ὑπὸ τοῦ Σχολ. ἐν Ἀριστοφ. Ἱππ. 759, ἐξάρτημα νεῶν· ἦτο δὲ ὁ δελφὶς «σιδηροῦν κατασκεύασμα ἢ μολύβδινον εἰς δελφῖνα ἐσχηματισμένον» Σχόλ. ἔνθ' ἀνωτ.·—βάρος τι, Ἰάμβλ. ἐν Βίῳ Πυθ. 117·—προσέτι = περίαμμα, Τατιαν. σ. 65.

ἐξάρτησις, εως, ἡ, ἡ συνοχὴ τῶν μερῶν τοῦ σώματος πρὸς ἄλληλα, νεύρων Ἱππ. π. Ἀγμ. 776· ἡ τῶν ἐμβρύων ἐξ. Ἀριστ. π. τὰ Ζ. Ἱστ. 3. 1, 31· τὴν ἐξ. ἔχειν ἔκ τινος αὐτόθι 3. 14· τινι αὐτόθι 1.17,17.

ἐξάρτια, τά, τὰ «ξάρτια», τὰ ἄρμενα τοῦ πλοίου, ἴδε Δουκάγγ. ἐν λέξει.

ἐξαρτίζω: μέλλ. Ἀττ. -ιῶ: — συμπληρῶ, τελειώνω, ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτῆσαι τὰς ἡμέρας Πράξεις Ἀποστ. κα', 5. **II.** τελειώνω οἰκοδόμημα, Συλλ. Ἐπιγρ. 2208· ἐξ. πλοῖα, παρασκευάζειν προσηκόντως, ἐφοπλίζειν, Ἀρρ. Περίπλους Ἐρυθρ. Θαλάσσ. σ. 11.—Παθ., εἶμαι ἐντελῶς παρεσκευασμένος, ἕτοιμος, σῖτος αὐτόθι σ. 8· πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος πρὸς Τιμόθ. Β', Ἐπιστ. γ', 17:—Μέσ., προμηθεύομαί τι, ἐφοδιάζομαι μέ τι, καὶ τὰ ἄλλα ἐξήρτιστο Λουκ. π. Ἀληθ. Ἱστ. Α, 33.

ἐξαρτισμός, ὁ, τὸ ἐξαρτίζειν, ἐξοπλίζειν πλοῖον, Βασιλικ. 15.1, 3, Ἀρριαν. Τακτ. (;), οὕτω καὶ **ἐξάρτισις**, ἡ, Εὐστ. 56, 21 (;).

ἐξάρτυσις, εως, ἡ, παρασκευή, ἑτοιμασία, τέλειος ἐφοδιασμός, Φίλων Βελοπ. σ. 67· ἰδίως ἐπὶ μουσικῆς προετοιμασίας, Καλλικράτ. παρὰ Στοβ. 485.13, Εὐρύφαμ. αὐτ. 556. 34.

ἐξαρτύω [ῡ], παρασκευάζω, ἑτοιμάζω, τἄνδον ἐξάρτυε Εὐρ. Ἠλ. 422: παρασκευάζω ἐντελῶς, ἐξοπλίζω, καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες Θουκ. 2. 17· συχνότερον ἐν τῷ μέσ., ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλὰς καὶ τῆς θαλάσσης μᾶλλον ἀντείχοντο Θουκ. 1.13, 25., 2. 13· τὰ ἡμέτερα ὁ αὐτ. 1. 82· ἐγὼ φόνον γε μητρὸς ἐξαρτύσομαι, ἐγὼ θὰ παρασκευάσω τὰ πάντα διὰ τὸν φόνον τῆς μητρός, Εὐρ. Ἠλ. 647· μετ' ἀπαρ., οἷον ἐξαρτύεται γάμον γαμεῖν Αἰσχύλ. Πέρσ. 908:— Παθ., εἶμαι ἕτοιμος, πάντα σφι ἐξήρτυτο ἐς τὴν κάτοδον Ἡρόδ. 1. 61· πόλεμος ἐξαρτύεται, παρασκευάζεται, Εὐρ. Ἡρακλ. 419:— ἰδίως κατὰ μετοχ. παθ. πρκμ., ἕτοιμος, σεσαγμένος, ἐζευγμένος, ἐπὶ ἵππων, ἐξηρτυμένας πώλους παρ' αὐτὸν δεσπότην ἐστήσαμεν ὁ αὐτ. ἐν Ἱππ. 1186· ὡσαύτως μετὰ δοτ. πράγμ. (ὡς τὸ **ἐξηρτημένος** μετ' αἰτ. πράγμ.), παρεσκευασμένος ἢ ἐφωδιασμένος μέ τι, ἐξηρτυμένος νεηνίῃσι καὶ κυσὶ Ἡρόδ. 1. 43· ὕδασι καὶ σιτίοισι εὖ ἐξ. 2. 32· τόξοισιν ἐξηρτυμένοι (διάφ. γραφ. ἐξηρτημένοι) Αἰσχύλ. Πρ. 711· πλοίοις μακροῖς ἐξ. Θουκ. 1. 14· τοῖς ἅπασιν ἄριστα ἐξ. αὐτόθι 80· καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐξαρτυθεὶς ὁ αὐτ. 6. 31· ἐν 6. 17 ὑπάρχει διάφ. γραφ. **ἐξήρτηται**. **II.** ἐν τῷ μέσ., ὡσαύτως, ἐξασκῶ, καθάπερ ὄργανον ἐξαρτυομένου τὴν φωνὴν καὶ παρασκευάζοντος Πλούτ. 2. 973D: πρβλ. **ἐξάρτυσις**.

ἐξάρῠσις, εως, ἡ, ἀπάντλησις, Γαλην. ἐν Ἱπποκρ. Γλωσσ. 468.

ἐξαρύω, ἐκθλίβω, ἐκπιέζω, Ἱππ. π. Ἀγμ. 779 (Ἐρωτιαν. 152), ἐξαντλῶ, Πλάτ. 2. 637F. **II.** ἐξαντλῶ ἐντελῶς, ἀποξηραίνω τι, γαῖαν πλούτοιο Χρησμ. Σιβυλλ. 3. 640.

ἐξαρχῆς, Ἐπίρρ., ὀρθότερον διῃρημένως, **ἐξ ἀρχῆς**, ἴδε ἐν λ. **ἀρχή**.

ἔξαρχος, ὁ, ἡ, (ἄρχω) ὁ ἐξάρχων, ὁ ἀρχίζων τι, Λατ. auctor, μετὰ γεν., ἀοιδούς, θρήνων ἐξάρχους Ἰλ. Ω. 721. **2)** ὁ ἀρχηγὸς ἢ κορυφαῖος τοῦ χοροῦ, Λατ. coryphaeus (πρβλ. τὸ ἑπόμ.)· ἔξαρχος καὶ προηγεμὼν καὶ κιστοφόρος .. καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γραϊδίων προσαγορευόμενος Δημ. 313. 27, ἴδε Spanh. ἐν Καλλ. Ὕμν. εἰς Δῆλον 18, Elmsl. ἐν Εὐρ. Βάκχ. 141· καθόλου, ἡγεμών, ἀρχηγός, τῶν ἱερέων Πλουτ. Νουμ. 10· τῆς στάσεως Πολύαιν. 2.1,14, κτλ.: — Παρὰ τοῖς μεταγεν. καὶ τοῖς Ἐκκλησ. **1)** ἔπαρχος, Ἕκτη Οἰκ. Σύνοδ. 660D. **2)** ἀρχιεπίσκοπος ὁλοκλήρου ἐπαρχίας, Σύνοδ. Σάρδ. Καν. 6, Καρθ. Καν. 39. **3)** ἐπιθεωρητὴς μοναστηρίων, = **ἀρχιμανδρίτης**, Θεοδώρ. IV. 1317C, Ἰουστινιαν. Νεαρ. 133. 4. **4)** ὁ φυλάττων τὴν τάξιν, ὁ εὐταξίας ἐν ταῖς συνεδρίαις συνόδου, Θεοδώρ. III. 1409, Εὐαγρ. 2455B.

ἐξάρχω: μέλλ. -ξω, ἀρχίζω τι, κάμνω ἔναρξίν τινος, Λατ. auctor esse, μετὰ γεν., Θέτις δ' ἐξῆρχε γόοιο Ἰλ. Σ. 51· μολπῆς ἐξάρχοντος (ἐνν. τοῦ ἀοιδοῦ) Ὀδ. Δ. 19· ἐξῆρχον ἀοιδῆς Ἡσ. Ἀσπ. Ἡρ. 205· ἐξάρχετε φωνῇ (ἐνν. τῆς μολπῆς) Πινδ. Ν. 2, ἐν τέλει· ἐξ. πετροβολίας Ξεν. Ἀν. 6. 6,15· παιᾶνος Πλουτ. Λυκ. 22· δόγματος Πλούτ. Γάλβ. 8, κτλ.:—οὕτως ἐν τῷ Μέσ. τύπῳ, κακῶς ἐξήρχετο βουλῆς Ὀδ. Μ. 339. **2)** μετ' αἰτ., βουλὰς ἐξάρχων ἀγαθὰς Ἰλ. Β. 273· ἐξ. παιήονα Ἀρχίλ. 71· ᾠδὰν Θεόκρ. 8. 62· τὸν διθύραμβον Ἀριστ. Ποιητ. 4, 14· ἐξ. ὅρκον ὑπαγορεύειν .. Εὐρ. Ι. Τ. 743· καὶ ἐν τῷ Μέσ. τύπῳ, ἐξάρχου κανᾶ ὁ αὐτ. Ι. Α. 435· ἐξῆρχεν αὖ ὁ Κῦρος παιᾶνα τὸν νομιζόμενον Ξεν. Κύρ. 3. 3, 58· ἀποτείνω, σπονδὰς τοῖς θεοῖς ποιεῖσθε καὶ παιᾶνα ἐξάρχεσθαι, αὐτόθι 4. 1, 6· ἀλλ' ὡσαύτως μετὰ διπλ. αἰτιατ., εἰ δέ μ' ὧδ' ἀεὶ λόγους (διάφ. γραφ. λόγοις) ἐξῆρχες, οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν Σοφ. Ἠλ. 557· μολπὰν .. ἐξῆρχον θεοὺς Εὐρ. Τρῳ. 152. **3)** εἰσηγοῦμαι, οἱ λόγων ἁπτόμενοι ἀσεβῶν ἄλλοις τε ἐξάρχοντες Πλάτ. Νόμοι 891D. **4)** μετὰ μετοχ., ἐξάρχεσθαι ἀεθλεύων Ἀπολλ. Ρόδ. Α. 362.

ἐξᾶς, ἄντος, ὁ, νόμισμά τι, τὸ Λατ. sextans, δεκτὸν γενόμενον παρὰ τοῖς ἐν Σικελίᾳ Ἕλλησι, Ἐπίχαρμ. 6 Ahr.·—«ἐν δὲ Ἱμεραίων πολιτείᾳ φησὶν (ὁ Ἀριστοτέλης) ὡς οἱ Σικελιῶται τοὺς μὲν δύο χαλκοῦς ἑξᾶντα καλοῦσι, τὸν δὲ ἕνα οὐγκίαν» Πολυδ. Δ', 174 (Ἀριστ. Ἀποσπ. 467), ἴδε τὴν λέξιν **λίτρα**. Ἴδε Κόντου Φιλολογ. Ποικ. ἐν Ἀθηνᾶς τ. Δ', σ. 46.

ἑξάς, ἑξάδος, ἡ, (ἕξ), τὸ οὐσιαστ. τοῦ ἀριθμοῦ ἕξ, Λουκ. Κρον. 4, Πλουτ. Λυκ. 5, κλ.

ἐξασελλάνωμεν, «ἀναπληρώσωμεν» Ἡσύχ.

ἑξά-σημος, ον, ὁ ἔχων ἓξ χρόνους ἢ ἓξ βραχείας συλλαβάς, ὃ (τὸ Ἀλκαϊκὸν ἐνδεκασύλλαβον) τὴν μὲν πρώτην συζυγίαν ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον Ἡφαιστ. 14. 3· πρβλ. Δράκοντα σ. 125.12, ἔκδ. Ἑρμάννου (1812).

ἐξασθενέω, χάνω τὰς δυνάμεις μου, καθίσταμαι ἀδύνατος, Ἱππ. 504. 9, Ἀριστ. Ἠθ. Μεγ. 2. 6, 45, Θεοφρ. π. Φυτ. Αἰτ. 5. 9,11· τοῖς λογισμοῖς Διόδ. 20. 78.—Πρβλ. Κόντου Γλωσσ. Παρατηρ. σ. 79 - 86.

ἐξασθένησις, ἡ, κατάπτωσις τῶν δυνάμεων, Γεωργ. Παχυμ. Ἀνδρ. Παλ. 5.18, σ. 282B.

ἐξασθενίζω = **ἀσθενόω**, μεταγ.

ἑξάσιν, δοτ. πληθ. τοῦ **ἕξ**, παρασχόμενοι τοῖς ἑξάσιν βασιλείσκοις βόας με' Ἐπιγρ. Αἰθιοπίας τοῦ δ' μ. Χ. αἰῶνος, Συλλ. Ἐπιγρ. 5128.

ἑξασκελής, ές, ἐπὶ ἐπιδέσμου, σχιστὸς εἰς ἓξ σκέλη ἢ λωρίδας, Παῦλ. Αἰγ. 6. 60.

ἐξασκέω, περιποιοῦμαι, κοσμῶ, ἐνδύω, ἐσθῆτί τινα Σοφ. Οἰδ. Κ. 1603· ἀλλὰ μετὰ διπλῆς αἰτιατ., ἀγώ νυν ἐξήσκησα Εὐρ. Ἑλ. 1383· πλόκαμον ἐξήσκεις κόμης, διηυθέτεις, ὁ αὐτ. ἐν Ἠλ. 1071:—Παθ., ἐφοδιάζομαι μέ τι, περὶ τῶν Μουσῶν, ὀργάνοισιν ἐξησκημέναι ὁ αὐτὸς ἐν Ῥήσῳ 922· φυτοῖσιν ἐξησκημένον, κεκοσμημένον, Λυκόφρων 858· ὁ μὲν γὰρ Ἀθηναῖος εὐμόρφοις παισὶν ἐξήσκητο, ἦτο εὐφωδιασμένος μὲ εὔμορφα παιδία, Λουκ. Ἔρωτ. 10· ἀπολ., πώλους .. Κύπριδος ἐξησκημένας, ηὐτρεπισμένας, ἑτοίμους, Εὔβουλος ἐν «Παννυχίδι» 1· μνῆμα εἰς κάλλος ἐξησκημένον, κομψῶς κατειργασμένον, Λουκ. Νεκρ. Διάλ. 24.1. **II.** ἐξασκῶ, γυμνάζω, ἐκδιδάσκω, τινα Πλάτ. Κλειτοφῶν 407B· τὸ ναυτικὸν Δίων Κ. 48. 49· οὕτως, ἐξασκητέον σωφροσύνην Νικόστρ. παρὰ Στοβ. 447. 29:—Παθ., ἐξασκοῦμαι ἢ γυμνάζομαι εἴς τι, τι Ξεν. Ἱππαρχ. 2.1· περί τι Πλουτ. Νικ. 5. **2)** κτῶμαι δι' ἀσκήσεως, ἐξασκήσαντος ἕξιν ὁ αὐτὸς ἐν βίῳ Περικλ. 4· ἐξασκεῖν τέχνην Θεμίστ. 217C.

ἑξα-στάδιος, ον, ἀποτελούμενος ἐκ σταδίων ἕξ, Στράβων 234.

ἑξάστερον, τό, ὁ ἀστερισμὸς τῶν ἓξ ἀστέρων, δηλ. αἱ Πλειάδες, κοινῶς «Πούλια», «Πλειάδες αἱ ἕξ, αἵτινες λέγονται καὶ κοινῶς ἑξάστερον» Σχόλ. εἰς Ἡσ. Ἔργ. κ. Ἡμ. 383, Εὐστ. Ἰλ. 870. 26.

ἔξαστις, ιος, ἡ, τὸ «ξέφτημα» σχισθέντος ὑφάσματος, ἐπὶ ἐπιδέσμων, παρασκευάζειν δὲ ὀθόνια κοῦφα, λεπτά, μαλθακὰ .. μὴ ἔχοντα συρραφὰς μηδ' ἐξαστίας (γρ. ἐξάστιας) Ἱππ. π. Ἰητρ. 744·—«ἐξαστίας· ἔνιοι μὲν τὰ ἐπανιστάμενα ἐξ ἄκρων τῶν σχισθέντων ὀθονίων λίνα, καὶ ἀπὸ τῶν ῥακῶν τὰς κρόκας· ἐμοὶ δὲ καὶ τὰ πρὶν σχισθῆναι προὔχοντα τὸν αὐτὸν τρόπον ὀνομάζειν δοκεῖ» Γαληνοῦ τῶν Ἱππ. γλωσσ. ἐξήγ. 468, πρβλ. Ἐρωτιαν. 154, ἔνθα ἡ ὀνομ. γράφεται **ἐξάστις** παροξυτόνως· πρβλ. **δίασμα**. **II.** κροσσός, θύσανος, Ἐπιγρ. παρὰ Hicks 90 ἐν τέλει.

ἑξά-στῐχος, ον, συνιστάμενος ἐκ στίχων ἕξ, περὶ τοῦ σχήματος τοῦ καλουμένου **σπυριδόν**, «τὸ σπυριδὸν σχῆμα ἑξάστιχόν ἐστι» Α. Β. 786. 20.

ἑξά-στοιχος, ἐπὶ κριθῆς, ἡ ἔχουσα ἓξ σειρὰς κόκκων ἐν τῷ στάχυϊ, τῶν κριθῶν αἱ μὲν εἰσι δίστοιχοι .. πλεῖστον δ' ἑξάστοιχοι Θεοφρ. π. Φυτ. Ἱστ. 8. 4, 2· **ἑξάστῐχος** ἐν Columell.

ἐξαστοχέω, κατ' ἐπίτασιν ἀντὶ τοῦ **ἀστοχέω**, Ῥωμαῖοι μεγάλης νίκης καὶ αὐχήματος ἐξηστόχησαν Μ. Ἀτταλ. σ. 114.16, ἔκδ. Β.

ἐξαστράπτω, ἐκλάμπω, Τρυφιόδ. 103· πῦρ ἐξαστράπτον Ἑβδ. (Ἰεζεκιὴλ Α, 4), Εὐαγγ. κ. Λουκ. θ', 29, κλ.

ἑξά-στῡλος, ον, ἔχων ἓξ στύλους κατὰ μέτωπον, ἐπὶ ναῶν, Βιτρούβ. 3. 1.

ἑξᾰ-σύλλᾰβος, ον, ὁ ἔχων ἓξ συλλαβάς, Σχόλ. εἰς Σοφ. Αἴαντα 174, εἰς Ἀντ. 1256, 1302, εἰς Εὐρ. Ὀρέστ. 316, εἰς Ἀριστοφ. Ὄρν. 737, κτλ.

ἐξασφαλίζω, καθιστῶ τι ἀσφαλές, τοῦτο δὴ περισκεψάμενος τὰ λοιπὰ ἐξασφαλίσαι Κικ. πρὸς Ἀττ. 6. 4, 3· οὕτω καὶ ἐν τῷ Μέσῳ τύπῳ, πλείοσι παρασκευαῖς ἐξασφαλισάμενος τὸν τόπον Στράβων 821, Σχόλ. εἰς Ὁμ. Ἰλ. Ν. 358.

ἐξᾰτῑμάζω, καταφρονῶ, καὶ μὴ Ἐξατιμάζητον, εἰ τυφλοῦ πατρὸς τοιώδ' ἔφυτον (ἐφύτην Elms.) Σοφ. Ο. Κ. 1378.

ἐξατῑμόομαι, παθ., ἐντελῶς ἀτιμάζομαι, Ἑβδ. (Ἰεζεκ. ΙϚ', 61).—Τὸ ἐνεργ. παρὰ Γεωργ. Παχυμ. ἐν Ἀνδρ. Παλ. 5. 24, σ. 299C: τὸν γραμματέα ἐξατιμοῖ κουρᾷ τριχῶν καὶ γενείου.

ἐξατμιάω, = τῷ ἑπομ., Ἱππ. 507. 37 κἑξ.: οὕτω καὶ ἐξατμιδόω, Ὀλυμπιόδ. ἐν Δ. Β. 1371.

ἐξατμίζω, μεταβάλλω εἰς ἀτμόν, κάμνω τι νὰ ἐξατμισθῇ, τοῦ πυρὸς ἐξατμίσαντος ἐκ τῆς γῆς τὸ ὑγρὸν Ἀριστ. Μετεωρ. 1. 11, 3· πρβλ. 2. 2, 10:—Παθ., ἐξατμίζομαι, ὡς καὶ νῦν, αὐτόθι 4. 10, 5 κ. ἀλλ. **II.** ἀμεταβ. ἐν τῷ ἐνεργ. = τῷ Παθ., αὐτόθι 4. 6, 5 κ. ἀλλ., π. Ζ. Γεν. 5. 3, 8.

ἐξάτμισις, ἡ, Οἰκουμ. Ἐξήγ. εἰς Ἐπιστ. Πατρ. 214, 18.

ἐξάτμισμα, τό, ὡς καὶ νῦν, E. Mil. ἐν Journ. d. Sav. Mai 1868 σ. 315 (ἄνευ μαρτυρίας).

ἔξατον, τό, (ἐξ, ἔξω) = **ἐξώστης** III, Γλωσσ.

ἐξατονέω, χάνω τὰς δυνάμεις μου, χαυνοῦμαι, ἀπαυδῶ, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 45. 6.

ἑξάτονος, ον, ἔχων ἓξ μουσικοὺς τόνους, ὥσπερ τινὰ συμφωνίαν, ἐν ἑξατόνῳ διὰ πασῶν ἀποδίδωσι Πλούτ. 2.1208F, Ἀριστείδ. Κοϊντιλιαν. σ. 21 Meib.

ἐξατράπης, ὁ, ἴδε **σατράπης**

ἑξάτροχος, ον, ἔχων ἓξ τροχούς, Ἥρων ἐν Wesch. Poliorc. d. Gr. σ. 239.

ἐξαττάομαι, παθ., κοσκινίζομαι, σεμίδαλις, ἐκ πολλῆς σφόδρ' ἐξηττημένη Ἀντιφάν. ἐν «Ἀντεία» 1· πρβλ. **διαττάω.**

ἐξαττικίζω, ἐκφέρω τι ἀττικῶς, μιμοῦμαι τοὺς ἀττικούς, «ἀττικίζειν καὶ ἐξαττικίζειν· τὰ τῶν Ἀττικῶν φρονεῖν, ὥσπερ τὸ λακωνίζειν τὰ τῶν Λακώνων .. σημαίνει μέντοι καὶ τὸ ἀττικῶς λέγειν» Α. Β. 12. 26· ἐξηττικισμέναι λέξεις Φωτ. Βιβλ. σ. 86.

ἐξάττω, Ἀττ. συνηρ. ἀντὶ **ἐξαΐττω, ἐξαΐσσω.**

ἐξατωρία, ἡ, (exautoro) ἀπαλλαγὴ ἐκ στρατιωτικῆς ὑπηρεσίας, Λέων ἐν Τακτ. 20.71. Ὁ Σουΐδ. γράφει: **ἐξατωρεία** καὶ ἑρμηνεύει: «ἐλευθερία ἀπὸ στρατείας».

ἐξαυάζω = **ἐξαυαίνω,** Θεοφρ. Ἀποσπ. 13. 2.

ἐξαυαίνω, ἐντελῶς ἀποξηραίνω, ὁ νότος .. τὰ ἔλυτρα τῶν ὑδάτων ἐξηύηνε (ἀόρ. α') Ἡρόδ. 4.173:—Παθ., τὰ δένδρεα ἐξαυάνθη αὐτόθι 151, πρβλ. Ἀριστοφ. Ἀποσπ. 514.

ἐξαυγάζομαι = αὐγάζω, Φιλόστοργ. 589Β.

ἐξαύγεια, ἡ, ἀπαυγή, ἀπαυγασμός, λάμψις, Ἀνδρ. Κρήτ. σ. 175C, κλ.

ἐξαυγὴς ές, (αὐγή) λάμπων ἐκ λευκότητος, κατάλευκος, πώλων .. χιόνος ἐξαυγεστέρων Εὐρ. Ρῆσ. 304.

ἐξαυδάω: μέλλ. **-ήσω,** λέγω φανερῶς, καθαρά, ἐξαύδα, μὴ κεῦθε νόῳ Ἰλ. Α. 363, Π. 19· Ζεὺς δ' ἀντίος ἤλυθε οἱ καὶ τόδ' ἐξαύδ' ἔπος Πινδ. Ν. 10. 150· οὐδὲν ἐξαυδᾷς σοφὸν Σοφ. Φ. 1244: οὕτως ἐν τῷ Μέσῳ τύπῳ, Αἰσχύλ. Χο. 150, 272.

ἐξαυθᾰδίζομαι, ἐπιτεταμένον ἀντὶ τοῦ **αὐθαδίζομαι,** Ἰωσήπου Ἰουδ. Ἀρχ. 15.10. 4.

ἐξαῦθις, Ἐπίρρ., ἴδε ἐν λ. **ἐξαῦτις.**

ἐξαυλακία, ἡ, ἐκροή, ἔκρυσις, μετὰ δὲ τὴν ἐξα(υ)λακίαν τῶν εἴκοσι ἡμερῶν Ἐπιγρ. Σάρδεων L. et W. 628.

ἐξαυλᾰκίζω, «ἐξαυλακίζω», Ἰω. Λυδ. π. Ἀρχ. τῆς Ρωμ. Πολ. 2. 8., 3. 65.

ἐξαυλέω, ἐκ τῆς πολλῆς αὐξήσεως καθιστῶ τι ἄχρηστον, φθείρω, περὶ τῆς γλωττίδος τοῦ αὐλοῦ, «ἐξηυλημέναι γλῶτται, αἱ παλαιαί» Πολυδ. Δ', 73, πρβλ. καὶ 67, ἴδε Ἀριστοφ. Ἀχ. 681· ὡσαύτως, ἐξηυλημένος τὰ ὦτα, κατηυλημένος, Συνέσ. 62Β. Ἴδε Ἡσύχ. ἐν λέξει **ἐξηυλημένον.**

ἐξαυλίζομαι, ἀποθ., ἐξέρχομαι τῆς αὐλῆς ἐν ᾗ διέμενον, ἐπὶ στρατοῦ, ἐξαυλισάμενοι ἀνεμένομεν Λουκ. π. Ἀληθ. Ἱστ. Α. 37 (διαφ. γρ. ἐξοπλισάμενοι)· ὁ δὲ Ἀσιδάτης .. ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας, κατέλιπε τὴν θέσιν του καὶ ὑπῆγε καὶ ηὐλίσθη, κατέλυσεν εἰς κώμας, κτλ., Ξεν. Ἀν. 7.8,21.

ἔξαυλος, ον, ἐπὶ αὐλοῦ, ἄχρηστος ἐκ τῆς πολλῆς χρήσεως, Πολυδ. Δ', 73.

ἐξαύξω: μέλλ. **-αυξήσω:** αὐξάνω τι ὑπὲρ τὸ δέον, ἡ γὰρ θερμότης ἐξαύξειν φαίνεται καὶ διαρθροῦν τὰ μέλη καὶ σκληρύνειν Θεοφρ. π. Φυτ. Αἰτ. 1. 22.1·—ἐν τῷ Παθ., παρὰ πολὺ ταχέως αὐξάνομαι, ὁ αὐτὸς π. Φυτ. Ἱστ. 6. 6, 6.

ἐξαυστήρ, ῆρος, ὁ, «κρεάγρα», Πολυδ. Ϛ', 88, Ἡσύχ. ἐν λέξει, Ἐτυμ. Μ. 346. 56, ἐπανορθωθὲν ὑπὸ Böckh. ἐν τῇ Συλλ. Ἐπιγρ. 161·— πρβλ. **ἐξαύω.**

ἐξαυτῆς, ἐπίρρ., ἀντὶ **ἐξ αὐτῆς [τῆς ὥρας],** ἀκριβῶς κατ' ἐκείνην τὴν ὥραν, πάραυτα, Θέογν. 231, Ἄρατ. 641, Πολύβ. 2.7, 7, κτλ.

ἐξαῦτις, ἀντὶ **ἐξαῦθις** (ὅπερ δὲν ἀπαντᾷ), Ἐπικ. Ἐπίρρ., ἐκ νέου, αὖθις, πάλιν, Πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν Ἀτρεΐδην προσέειπε Ἰλ. Α. 223, κτλ., Ἀρχίλοχ. 5. **II.** ἐπὶ τόπου, ὀπίσω, πρὸς τὰ ὀπίσω, ὄφρ' ἠΰς θεράπων Πηληϊάδεω Ἀχιλῆος ἐξαῦτις Τρῶας .. ὤσαιτο προτὶ ἄστυ Ἰλ. Π. 654· ἔμπης δ' ἐξαῦτις μετελεύσομαι ἀντιδολήσων Ἀπολλ. Ρόδ. Γ. 482.—Πρβλ. Lehrs. Ἀρίσταρχ. 161. Ἀλλὰ τὰ μνημονευθέντα χωρία δύνανται κάλλιστα καὶ χρονικῶς νὰ ἑρμηνευθῶσιν.

ἐξαυτομολέω, αὐτομολῶ ἔκ τινος τόπου, ἐξαυτομολῶ πρὸς ὑμᾶς Ἀριστοφ. Νεφ. 1104. **II.** Παθ., προδίδομαι ὑπ' αὐτομολησάντων, οὕτω γὰρ ἂν ἥκιστα .. ἐξαυτομολοῖτο τὸ σύνθημα Αἰτ. Τακτ. 24.

ἐξαυτοσχεδιάζω, πράττω τι ἐκ τοῦ προχείρου, Γεωρ. Ἀκροπ. Ἱστ. σ. 40Δ.

ἐξαυχενισμός, ὁ, ἐκτραχηλισμός, αὐθάδεια, ἐξαυχενι(α)σμοῦ πλήρης ἀδικίας Ἀκύλ. ἐν Ναούμ., Γ', 1.

ἐξαυχέω: ἀόρ. **-ηύχησα,** καυχῶμαι, μεγαλαυχῶ, λέγω καυχώμενος, μετὰ μετοχ., ἐξηύχει λαβὼν Αἰσχύλ. Ἀγ. 872· μετ' ἀπαρ., Σοφ. Ἀντ. 390, Εὐρ. Ἰκ. 504· μετ' αἰτ. πράγμ., τοῦτ' ἂν ἐξηύχησ' ἐγὼ Σοφ. Φιλ. 869.

ἐξαυχμόω, πάσχω ἐκ ξηρασίας, ὅταν ἐξαυχμῶσι δι' ἀνυδρίαν Θεόφρ. π. Φυτ. Αἰτ. 5. 9, 8. **II.** ἐν τῷ Παθ., καταξηραίνομαι, ἐξαυχμοῦται γάρ, κτλ., Διογ. Λ. 7.141.

ἐξαύω, κατὰ τὸν Εὐστάθ. (Ὀδ. 1547. 58) = **ὀπτάω,** «καὶ τὸ ὀπτῆσαι ἐξαῦσαι, ὁ δὲ τὸν ἐγκέφαλόν τις ἐξαύσας καταπίνει» (Πλάτ. Κωμ. ἐν Ἑορταῖς 9)», κατὰ δὲ τὸν Ἡσύχ. «ἐξαῦσαι· ἐξελεῖν», δηλ. κρέας ἐκ τῆς χύτρας διὰ τοῦ ἐξαυστῆρος. **II.** = **ὑφαύω,** μέσον δ' ἐξαύσατο βαυνὸν Ἐρατοσθ. ἐν τοῖς Α. Β. 6553.

ἐξαΰω, φωνάζω δυνατά, «ξεφωνίζω», ἐκ δ' ἤϋσ' ἐγὼ [ῠ] Σοφ. Τρ. 356 ἴδε ἐν λ. **αὔω.**

ἐξαφάζων· «ἐξ ἑαυτοῦ γινόμενος, καὶ περιβλέπων» Ἡσύχ.

ἐξαφαιρέω, ἀφαιρῶ τι ἔκ τινος, ἐν τῷ μέσῳ τύπῳ, εἰς ὅ κε πασέων ψυχὰς ἐξαφέλησθε Ὀδ. Χ. 444, πρβλ. Σοφ. Ἠλ. 1157· ἐξ. φρενῶν τὸν νοῦν τὸν ἐσθλὸν Ποιητὴς παρὰ Λυκούργ. 159. 24:—περὶ τοῦ ἐν Δημ. 100. 8 χωρίου ἴδε ἐν λ. **ἀφαιρέω.**

ἐξᾰφᾰνίζω, ἀφανίζω, ἐντελῶς, καταστρέφω, ὅλως δι' ὅλου, παίδων ἄγονον γόνον ἐξαφανίζων Εὔβουλος ἐν «Σφιγγοκαρίωνι» 1.11:—Παθ., γίνομαι ἐντελῶς ἄφαντος, Πλάτ. Πολιτικ. 270 Ε, Χρησμ. Σιβυλλ. 8.103.

ἐξαφάνισις, ἀφάνισις, Νεκτ. Ὁμ. σ. 8, καὶ **ἐξαφανισμός,** ὁ, Νείλου Ἐπιστ. 99.

ἐξαφαρπάζω, ἀφαρπάζω ἔκ τινος, Τζέτζ. ἐν Ἀνεκδ. Κραμήρου τ. 3. σ. 331,17.

ἐξαφιδρόω, ἐξιδρῶ τι, νοστίμου αἵματος ἐξαφιδρουμένου Στοβ. Ἐκλογ. 1.754 ἐκ διορθώσεως Schneid. ἀντὶ **ἐξαφεδρουμένου.**

ἐξαφίημι, ἐξακοντίζω, παλτὸν Ξεν. Ἱππ. 12.12· ἐξαποστέλλω, πέμπω, τοὺς δὲ γροσφομάχους καὶ τῶν πεζῶν τοὺς ἐπιλέκτους ἐξαφιείς, ἐκέλευσε προσβάλλειν Πολύβ. 10. 39,1:—Παθ. ἀόρ., ἐξαφέθητι, ἀντὶ -ήτω (;) Συλλ. Ἐπιγρ. 5858 b. **II.** ἀπαλλάττω, ἐλευθερώνω ἔκ τινος, ἀλλ' ἐξαφεῖται τοῦδέ γ', ὡς ἐγὼ κλύω Σοφ. Τρ. 72.

ἐξαφίσταμαι, παθ. μετ' ἀόρ. β', πρκμ. καὶ ὑπερσ. ἐνεργ., ἀπομακρύνομαι ἔκ τινος, δεινὴν γὰρ τιν' ἂν πρᾶξιν τύχοις λέξας ὁποίας ἐξαφισταίμην ἐγὼ Σοφ. Ο. Κ. 561, Εὐρ. Ι. Α. 479.

ἐξάφορον, τό, ἐν Ῥώμῃ, φορεῖον φερόμενον ὑπὸ ἓξ ἀνδρῶν, Martial. 2. 81, 1: — **ἑξάφοροι,** οἱ φέροντες τὸ τοιοῦτον φορεῖον, Βιτρούβ. 10. 8.

ἐξαφρίζω, βράζω τι ἕως οὗ ἀφρίσῃ καὶ ἀφαιρῶ τὸν ἀφρὸν αὐτοῦ, «ξαφρίζω», ἔστι μέντοι τὸ ὠμὸν (μέλι) φυσσῶδες .. ὅθεν ἐξηφρισμένῳ δεῖ χρῆσθαι Διοσκ. 2.101: μεταφ., πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος, πρὶν ἐκβάλῃ τὸν ἀφρὸν τοῦ αἱματηροῦ μένους, ἐκ μεταφορᾶς τῶν δαμαζομένων πώλων, Αἰσχύλ. Ἀγ. 1067· μεταβάλλω εἰς ἀφρόν, ὑετὸν .. τῇ σφοδροτέρᾳ τῶν ἀνέμων προσβολῇ ἐξαφρίζων εἰς νιφετὸν μεταπήγνυσι Θεοδώρητ. τ. 4, σ. 334· ἀφρίζω, ἡ κακοποιία .. τὰ κύματα θραύουσα οὐκ ἐξαφρίζει τὸν θυμὸν ἀκρατῆ Εὐστ. Πονημάτ. 100. 91.

ἐξᾰφρισμός, ὁ, ἡ εἰς ἀφρὸν μεταβολή, Κλήμ. Ἀλ. Παιδ. 1. σ. 122.

ἐξᾰφρόομαι, μεταβάλλομαι εἰς ἀφρόν, ὃ δὴ (τὸ αἷμα) .. ἐξαφροῦται Κλήμ. Ἀλ. Παιδ. 1. σ. 126.

ἐξαφύω, ἀπαντλῶ, οἶνον .. ἐξαφύοντες Ὀδ. Ξ. 95·—ποιητ. ἀόρ., ἰόν .. ὃν πάρος ἧκε καὶ ἐξήφυσσεν ὀδόντων Ὀππ. Ἁλ. 1. 573· ἴδε **ἀφύσσω.**

ἔξαχα, ἴδε **ἐξαχῆ.**

ἐξά-χειρ, ειρος, ὁ, ἡ, ἓξ χεῖρας ἔχων, Λουκ. Ἑρμ.74, Τόξαρ. 62.

ἐξαχῆ, ἐπίρρ., κατὰ ἓξ τρόπους ἢ εἰς ἓξ μέρη, τὴν δ' ἐντὸς σχίσας ἑξαχῆ Πλάτ. Τίμ. 36D· **ἔξαχα** Ἰωάνν. Ἀλ. Τονικὰ παραγγ. 33.

ἐξαχοινῖκος, ον, περιλαμβάνων ἓξ χοίνικας, κοινῶς «σοινίκια», Ἀριστοφ. Ἀποσπ. Ἄδηλ. 93, Meineke.

ἐξάχορδος, ον, ὁ ἔχων ἓξ χορδάς, ἐν ἑξαχόρδῳ κιθάρᾳ Ἀνώνυμ. π. τοῦ Ἁγ. Θεοδ.19. σ.18.

ἐξά-χοος, οον, συνῃρ. **-χους, ουν**, χωρῶν, ἓξ χόας, ἑξάχουν ὑδρίαν Πλουτ. Σόλων 23.

ἐξα-χρειόω, καθιστῶ ἀχρεῖον ἢ ἄχρηστον, Ἀρέθας σ. 966 Mai.

ἐξά-χρονος, ον, ὁ συνιστάμενος ἐξ ἓξ χρόνων (βραχέων), ὡς π. χ. ὁ μολοσσός, Ἡφαιστ. 3. 2.

ἐξαχυρόω, ἀφαιρῶ τὰ λέπυρα, «φλούδια» ἔκ τινος, Ἡσύχ. ἐν λ. **λεπυριῶσαι**.

ἐξαχῶς, ἐπίρρ. = **ἐξαχῆ**, Ἀριστ. Τοπ. 2.7,1, Δίων Κ. 75. 4.

ἐξάψαλμος, ον, συνιστάμενος ἐκ ψαλμῶν ἕξ. Ἐν ταῖς ἱεροτελεστίαις, ἑξάψαλμος εἶναι οἱ ἑξῆς ἓξ ψαλμοί, ὁ γ', ὁ λζ', ὁ ξδ', ὁ πζ', ὁ ρβ' καὶ ὁ ρμβ', ἀναγινωσκόμενοι κατὰ τὴν ἀκολουθίαν τοῦ ὄρθρου, Στουδ.1705B, Ἀνδρ. Κρήτ. σ. 265B. Ὡρολόγ., Σύνοψις, κτλ.

ἔξαψις, εως, ἡ, πρόσδεσις, ἐπίδεσις, Ἰάμβλιχ. ἐν Νικομ. 151D. **II.** Τὸ ἐξάπτειν, καῦσις. καυσώδης αἴσθησις, ἔξαψιν ποιεῖν Ἱππ. 404. 27, πρβλ. Ἀριστ. π. Κόσμ. 4,23· τὸ ἐξάπτεσθαι ὡς καὶ νῦν, ὀξυχολία, ἔξαψις καρδίας, κτλ., Ζωναρ.1456·— ἐπὶ τοῦ ἡλίου, ἀνατολή, Γαλην. **2)** τὸ ἀνάπτειν φῶτα, φωτοχυσία, Ἰω. Μαλαλ. 206.13.

ἐξαωρία, ἡ, ἡ ἕκτη ὥρα τῆς ἡμέρας (ἡ μεσημβρία), Παλλαδ. Λαυσ. 1211D.

ἐξά-ωρος, ον, ὁ διαρκῶν ἓξ ὥρας, ἑξάωρος ἡ νὺξ (ἐν Βρεταννίᾳ) Μιχ. Γλυκᾶς Ἐπιστ.13. σ. 30.

ἐξεαγείς, ἴδε τὸ ῥῆμα **ἐξάγνυμι**.

ἐξεγγυάω: μέλλ. **-ήσω**, παραδίδω ὑπὸ ἐγγύησιν. δοῦλον ὅπως ἐξετασθῇ, ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυλάσσειν, ἢ τοῖς φίλοις τοῖς ἐμοῖς ἐξεγγυῆσαι Ἀντιφῶν 5. 47· ἐλευθερῶ τινα παρέχων δι' αὐτὸν ἐγγύησιν, μηδὲ τὸ λοιπὸν ἐξεγγυᾶν μηδένα Δημ.724, 6: — Παθ., ἀπολύομαι ὑπὸ ἐγγύησιν, ἱκετεύοντες μὴ στρεβλωθῆναι, ἀλλ' ἐξεγγυηθέντες κριθῆναι Ἀνδοκ. 1. 44, πρβλ. Δημ. 394 καὶ Λυσ. 22,10.

ἐξεγγύη ἡ = **ἐγγύη**, Ἰσαῖος 50. 24.

ἐξεγγύησις εως, ἡ, ἐγγύησις ὑπέρ τινος, κυρίως ὅπως ἀπολυθῇ ἐκ τῆς εἱρκτῆς, «τὸ ἐξελέσθαι τινὰ δι' ἐγγυητῶν καταστάσεως· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (725. 10)» Ἁρποκρ.

ἐξεγείρω: μέλλ., **-ερῶ**, ἐξεγείρω τινὰ τοῦ ὕπνου, ἀφυπνίζω, ὥστ' οὐχ ὕπνῳ γ' εὕδοντά μ' ἐξεγείρετε Σοφ. Ο. Τ. 65, Τρ. 478: — Παθ., ἀφυπνίζομαι, ὑπαὶ κώνωπος Αἰσχύλ. Ἀγ. 892: ἐξυπνῶ, Ἡρόδ. 1.34, Εὐρ. Ὀρ. 1530· οὕτω καὶ ἐν τῷ συγκεκομμένῳ ἀόρ., **ἐξηγρόμην** Ἀριστ. Βάτρ. 51· Ἐπικ. γ' πληθ. **ἐξέγροντο** Θεόκρ. 24. 21· ἀπαρ. **ἐξεγρέσθαι** (κοινῶς **-έγρεσθαι**) Πλάτ. Συμπ. 223C· **ἐξεγρόμενος** αὐτόθι· οὕτω καὶ πρκμ. **ἐξεγρήγορα** Ἀριστοφ. Ὄρν.1413. **2)** ἐξεγείρομαι, ἐξοργίζομαι, ἆρ' ἐξεγείρει τοῖσδ' ὀνείδεσιν, πάτερ; Αἰσχύλ. Χο. 495. **3)** μεταφορ., διεγείρω ζήτημα περὶ παρελθόντος συμβεβηκότος καὶ λησμονηθέντος, Λατ. excitare, εὕδοντ' ἂν ἐξήγειρε τὸν Ἀγαμέμνονος φόνον Εὐρ. Ἠλ. 41· σκαλίζω τὸ πῦρ, κάμνω ν' ἀνάψῃ, τὸν ἄνθρακ' ἐξεγείρειν Ἀριστοφ. Λυσ. 315· ἐπὶ ἵππου, διεγείρω αὐτόν, Ξεν. Ἱππ.11. 12· πόλεμον Διόδ. 14. 44.

ἐξέγερσις, εως, ἡ, ἐπὶ στρατοῦ, τὸ ἐξεγείρειν αὐτὸν ἐκ τοῦ ὕπνου ἢ ἐκ τοῦ στρατοπέδου, Πολύβ. 9. 15, 4. **2)** τὸ ἐγείρεσθαι ἐκ τοῦ ὕπνου, μετὰ τὴν ἐξέγερσιν οὐχ εὑρίσκων τινάς Διον. Ἀλ. 3.70, Πλούτ. 2. 909C.

ἐξεγκατίζω, ἐξεντερίζω, «'ξεκοιλιάζω», Γλωσσ.

ἐξεγκεφαλίζω καὶ **ἐξεγκεφαλόω**, κάμνω τινὰ νὰ χάσῃ τὸν ἐγκέφαλόν του, τὰ «μυαλά του», Γλωσσ.

ἐξεδαφίζω, ἐπιτεταμ., ἀντὶ τοῦ **ἐδαφίζω**, ἐξεδαφισθήσῃ καὶ πῦρ σε ὅλην δαπανήσει Χρησμ. Σιβυλλ. 8. 39, Ὠριγέν. VII, 241D.

ἐξέδρα, ἡ, οἰκημάτιον παρὰ τὴν κυρίως οἰκίαν, ἔκλησε δ' ἄλλον ἄλλοσ' ἐν στέγαισι, τοὺς μὲν ἐν σταθμοῖς ἱππικοῖς, τοὺς δ' ἐν ἐξέδραισι Εὐρ. Ὀρ. 1449, ἔνθα ὁ Σχολιαστὴς ἑρμηνεύει: «ἄλλον δ' ἄλλοσε ἀγαγὼν ἔκλεισε, τοὺς μὲν ἐν τῷ (κοινῶς) σταύλῳ, τοὺς δὲ ἐν τῷ οἴκῳ τοῦ ἀποπάτου»·—ὡς μέρος τοῦ ἐν Ἀλεξανδρείᾳ Μουσείου, στοὰ ἢ αἴθουσα μετὰ καθισμάτων ἔνθα συνήρχοντο οἱ φιλόσοφοι καὶ οἱ ῥήτορες καὶ ὁμιληταὶ αὐτῶν, Στράβων 793, Κικ. Fin. 2, 4, Βιτρούβ. 5. 11:— συχνάκις ἐν ἐπιγραφαῖς, ἔνθα ἀναγράφεται ὅτι τις ἀνήγειρε πρὸς χρῆσιν τοῦ δημοσίου ἐξέδραν, Συλλ. Ἐπιγρ. 2088, 2430 κ. ἀλλ.· πρβλ. **ἐξέδριον**:— ἴδε Βεχχήρου Χαρικλέα 303. **II.** ἐν Ῥώμῃ, αἴθουσα, Κικ. de Or. 3. 5, N. Δ. 1. 6, πρβλ. Βιτρούβ. 5.11·— ἰδίως ἡ ἐν τῇ στοᾷ τῇ περὶ τὸ θέατρον τοῦ Πομπηΐου αἴθουσα ἐν Ῥώμῃ, ἔνθα ἡ Σύγκλητος συνήρχετο, Πλουτ. Βροῦτ.14,17.

ἐξέδριον, τό, ὑποκορ. τοῦ **ἐξέδρα** Ἐπιγρ. Κρήτ. ἐν τῇ Συλλ. Ἐπιγρ. 2554.124, Κικ. Fam.7. 23.

ἐξεδρο-ποιός, ον, ὁ ποιῶν τινα ἔξεδρον, ἐκβάλλων αὐτὸν ἐκ τοῦ τόπου ἐν ᾧ μένει, «ἔξεδροι δὲ λόγοι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν μου» Σχόλ. εἰς Εὐρ. Ἱππ. 934.

ἔξεδρος, ον, (ἕδρα) ἔξω τοῦ μέρους ἔνθα διαμένει τις, ἐν ἀντιθέσει πρὸς τὸ **ἔντοπος**, ὡς οὐκ ἔξεδρος, ἀλλ' ἔντοπος ἀνὴρ Σοφ. Φιλ. 212· μεταφ. = παράδοξος, ἀλλόκοτος, Ἀριστ. Ῥητ. 3. 3, 3. **2)** μετὰ γεν., ἐκτός, μακρὰν ἀπὸ .., χθονὸς Εὐρ.Ι. Τ. 80· μεταφ., ἔξεδροι φρενῶν λόγοι, μωροί, ἀνόητοι λόγοι, ὁ αὐτὸς Ἱππ. 935. **II.** ἐπὶ οἰωνῶν, ἔξεδρον χώραν ἔχων, οὐχὶ εὐοίωνον, «ἐκ τῆς Σοφοκλέους δευτέρας Τυροῦς...» (Σχόλ.) Ἀριστοφ. Ὄρν. 275· ἔξεδροί τινες ὄρνιθες ἐπέπταντο Δίων Κ. 37. 25. Καθ' Ἡσύχ. «ἔξεδρον· τὸν οὐκ αἴσιον οἰωνόν, οὐκ εὔθετον ὄρνιν, οὐκ ἐν δέοντι τὴν ἕδραν ἔχοντα».

ἐξεθίζω = **ἐθίζω**, Φίλων II. 361.16., 391. 21.

ἔξει, ἀντὶ ἔξιθι, προστ. τοῦ **ἔξειμι**.

ἐξεῖ· «ἔξω. Λάκωνες» Ἡσύχ.

ἐξεῖα· «τὰ ἑξῆς» Ἡσύχ.

ἐξείδιον· «σημαίνει τὴν ἕξιν· καὶ εἰ μὲν ἀπὸ τῆς ἕξεως γενικῆς ἐστι, γράφεται δίφθογγον· εἰ δὲ ἀπὸ τῆς ἕξιος, **ἐξίδιον** διὰ τοῦ ι» Ἐτυμ. Μ. 347. 54, πρβλ. καὶ 147. 22.—Πρβλ. Κόντου Γλωσσ. Παρατηρ. σ. 379.

ἐξεῖδον, ἀπαρ. **ἐξιδεῖν**, ὁ ἐν χρήσει ἀόρ. τοῦ **ἐξοράω**, ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν, «μεγάλως κατεῖδε τοῖς ὀφθαλμοῖς» (Θ. Γαζῆς), Ἰλ. Υ. 342· ὡσαύτως προστ. μέσ. ἀόρ., **ἐξιδοῦ**, κύτταξε καλά, κύτταξε μὲ ὅλην σου τὴν προσοχήν, Σοφ. Φιλ. 851.

ἐξειη· «κέρδος» Ἡσύχ.

ἐξείης, Ἐπίρρ., ποιητ. ἀντὶ τοῦ **ἑξῆς** Ὅμ.

ἐξεικάδιοι· «οἱ ἐκτὸς (τῆς) αὐτῆς εἰκάδος, καὶ τάγματος τοῦ αὐτοῦ» Ἡσύχ.

ἐξεικάζω: μελλ. **-άσω**, ἀφομοιῶ, συμμορφώνω, ἐξεικάζουσιν αὐτοὺς ταῖς τῶν φιλούντων ὑπουργίαις Ξεν. Ἱέρων 1. 38.— Παθ., καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ, διηυθετεῖτο οὕτως ὥστε νὰ φαίνηται ὅμοιον τῷ ἀκινήτῳ, ὁ αὐτὸς Κύρ. 1. 6, 39· τὸ πλεῖστον κατὰ μετοχ. -πρκμ., οὐδὲν ἐξῃκασμένα, δηλ. πραγματικὰ καὶ οὐχὶ κατὰ τὸ φαινόμενον, Αἰσχύλ. Ἀγ. 1244· κεραυνὸν οὐδὲν ἐξῃκασμένον .. θάλπεσι τοῖς ἡλίου ὁ αὐτὸς Θήβ. 445· ὁρῶ δῆτ' οὐ σαφῶς, ὁρῶ δ' ὅπως μορφῆς τύπωμα στέρνα τ' ἐξῃκασμένα, ὡς ἐν εἰκόνι, Εὐρ. Φοίν. 162· οὐ γάρ ἐστιν ἐξῃκασμένος, «πεπλασμένος πρὸς ὁμοιότητα» (Σχόλ.), δηλ. δὲν ἐφόρει προσωπεῖον παριστῶν τὴν μορφὴν τοῦ Κλέωνος, Ἀριστοφ. Ἱππ. 230.

ἐξείκασμα, τό, ὁμοίωμα, στέρνων τι ἐξείκασμα Ἰουλιαν. 247D· ἀλλ' ἐν τῇ ἐκδ. τοῦ Hertlein γράφεται στέρνα τε ἐξεικασμένα.

ἐξεικονίζω, παριστῶ δι' ἀπεικονίσεως ἢ παρομοιώσεως, ἀπεικονίζω, Πλούτ. 2. 445C. **II.** Παθ., λαμβάνω σχῆμα καὶ μορφήν, .. ἐὰν πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, μὴ λαβὸν ἔτι μορφὴν καὶ σχῆμα, Ἑβδ. (Ἔξοδ. ΚΑ', 22 κἑξ.). **2)** εἶμαι ἐντελῶς ὅμοιος, τινὶ Ἀρισταίν. 1. 19.

ἐξεικόνισμα, τό, ἀπεικόνισις, Ἰω. Χρυσ. τ. 1, σ. 1037· καὶ **ἐξεικονισμός**, ὁ, μεταγεν.

ἐξείκοντα = **ἑξήκοντα**, Ἐπιγρ. Φαρσαλίων, Henz. et Daum Expéd. 200, Ὀρχομενοῦ Βοιωτ. Bull. d. cor. hell. IV. σ. 90.

ἐξειλέω = **ἐξείλλω**, ἐκτυλίσσω, ἀνοίγω, ἕκαστον γοῦν αὐτῶν ἢν ἐξειλήσῃς, δρᾶμα οὐ μικρὸν εὑρήσεις Λουκ. π. τῶν Μισθ. Συνόντ. 41.

ἐξείλησις, εως, ἡ, τὸ ἐκφεύγειν, ἀπαλλάσσεσθαι, τὰ δὲ ἀπ' ὀρθῆς πάλης, ἀπ' αὐχένων καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως Πλάτ. Νόμ. 796A.

ἐξείλλω καὶ **ἐξειλέω**, ἐκτυλίσσω, ἀνακαλύπτω τὰ ἴχνη, ἐπὶ θηρευτικῶν κυνῶν, Ξεν. Κυν. 6, 15. **2)** εἴργω, κωλύω τινὰ ἔκ τινος, ἐάν τις ἐξείλῃ τινὰ τῆς ἐργασίας Δημ. 976 ἐν τέλει, πρβλ. **ἐξούλης δίκη**. **3)** ἐκβάλλω λίθον ἐκ τῆς οὐρήθρας, Γαλην. **4)** ἐκφεύγω, ἐκεῖθεν ἐξειλήσας ἦλθον εἰς τὴν .. Χαρύβδιν Ἰωάνν. Μαλαλ. σ. 121.13·—**ἐξίλλω** εἶναι διάφ. γραφ., ἴδε ἐν λ. **εἴλω**.

ἐξειλύω, ἐκτυλίσσω, τὸ παθ., **ἐξειλύομαι**, ἐπὶ ὄφεως, «ξεκουλλουριάζομαι», τὼ δ' ἐξειλισθέντε(ς) ἐπὶ χθονὶ γαστέρας ἄμφω αἱμοβόρως ἐκύλιον Θεόκρ. 24.17.

ἔξειμι, (εἶμι) Ἐπικ. β' ἑνικ., **ἔξεισθα**, ἴδε κατωτ.: Ἀττ. προστ. **ἔξει**, ἀντὶ ἔξιθι, Ἀριστοφ. Νεφ. 633: ἀπαρ. **ἐξιέναι**, καὶ παρὰ Μάχωνι ἐν Ἀθην. 580C **ἐξεῖναι**: κεῖται ὡς Ἀττ. μέλλ. τοῦ ἐξέρχομαι, ἀλλὰ μετὰ παρατ. **ἐξῄειν**, Ἰων. **ἐξήϊα** Ἡρόδ. 2.139. Ἐξέρχομαι κυρίως ἐκ τῆς οἰκίας, Ὅμ. τὸ πλεῖστον ἐν τῇ Ὀδ., ἀτὰρ οὐκ ἔξεισθα θύραζε; Υ. 179· μετὰ γεν. τόπου, ἐξιέναι μεγάρων Δ. 374· τῆς χώρας Σοφ. Ο. Κ 909· οὕτως, ἐκ τῆς χώρης Ἡρόδ. 1. 94· ἀλλ', ἐξ. ἐκ τῶν ἱππέων, ἐξέρχεσθαι ἐκ τῆς τάξεως τῶν ἱππέων, οἱ δὲ ἀγαθοεργοὶ εἰσι τῶν ἀστῶν, ἐξιόντες

ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι αὐτόθι 67· ἐξ ἀρχῆς ἐξ. Δίων. Κ. 60. 10. **2)** νῦν δ' εἰς ἔλεγχον ἐξιών, ὑποβάλλων εἰς ἔλεγχον (τοὺς λόγους καὶ τὰς πράξεις τῶν ἀνθρώπων ἐν τῷ βίῳ), Σοφ. Φιλ. 98, Ἀποσπ. 92· λόγων . εἰς ἅμιλλαν ἐξιὼν Εὐρ. Ἀποσπ. 347. **3)** ἀπολ.. ἔξει τὸν ἀσκάντην λαβὼν Ἀριστοφ. Νεφ. 633· ἰδίως ἐξέρχομαι μετὰ στρατοῦ, Θουκ. 5. 13, Ξεν. Κύρ. 3. 3, 20, κτλ. οἱ ἐξιόντες Θουκ. 1. 95: — οὕτω μετὰ συστοίχ. αἰτ., ἐκδήμους στρατείας οὐκ ἐξῄεσαν αὐτόθι 15· πολλοὺς ἀγῶνας ἐξ. Σοφ. Τρ. 159· ἐξόδους ἐξ.. ἐξέρχεσθαι μετὰ πομπῆς, Δημ. 1182. 27· ἐξ. ὑστάτην ὁδὸν Εὐρ. Ἄλκ. 610· ἐξ. τὴν ἀμφίαλον (ἐνν. ὁδὸν) Ξεν. Ἑλλην. 4, 2, 13· τὰς πύλας Ἀθήν. 351D. **4)** ἐξέρχομαι, παρουσιάζομαι εἰς τὴν σκηνήν, ἀλλ' οὐξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ' ἂν εὐθὺς τοῦ δράματος Ἀριστοφ. Βάτρ. 946. **II.** ἐπὶ χρόνου, συμβεβηκότος ἢ πάθους, παρέρχομαι, λήγω, ὡς ὧν ὁ χρόνος οὗτος ἐξῄιε Ἡρόδ. 2.139· λαμβάνει γὰρ οὖν ὕπνος μ' ὅταν περ τὸ κακὸν ἐξίῃ τόδε, ὅταν παρέρχηται, Σοφ. Φιλ. 767· τῆς ἀρχῆς ἐξιούσης Λυσ. 114. 41· ὅποι ἔξεισι τὰ ἴχνη, λήγουσι, Ξεν. Κυν. 8, 3.

ἔξειμι, (εἰμί), ἐν χρήσει μόνον ἐν ἀπροσώποις τύποις, ἴδε **ἔξεστι**.

ἐξεῖπον, ἀπαρ., **ἐξειπεῖν**, κεῖται ὡς ἀόρ. β' τοῦ ῥήμ. **ἐξαγορεύω**· τὸ δὲ **ἐξερέω** (ὃ ἴδε) εἶναι ὁ μέλλ.: ὡσαύτως ἀόρ. α' **ἐξεῖπας** Σοφ. Ἠλ. 521. Λέγω τι καθαρά, ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω καὶ πάντα διίξομαι, «λαλήσω καὶ πάντα διεξέλθω» (Θ. Γαζῆς), Ἰλ. Ι. 61· ἐξαγγέλλω, τῶν εἴ τίς σε ἴδοιτο .. αὐτῶν, ἂν ἐξείποι Ἀγαμέμνονι Ω. 654, πρβλ. Ὀδ. Ο. 443· ἐξ. ὅτι μοι παρορᾷς Ἀριστοφ. Ὄρν. 454· ἀκριβείᾳ ἐξ. Θουκ. 7. 87. **2)** μετὰ διπλῆς αἰτ., λέγω, ἐκστομίζω, ὁμιλῶ κατά τινος, καὶ τὴν μητέρα καὶ ἐμέ .. ῥητὰ καὶ ἄρρητα κακὰ ἐξεῖπον Δημ. 540· 10· διηγοῦμαι, τίν' ἀρχὴν πρῶτά σ' ἐξείπω κακῶν; Εὐρ. Ἠλ. 907· κατηγορῶ, καί τοι πολλὰ πρὸς πολλούς με δὴ ἐξεῖπας ὡς .. Σοφ. Ἠλ. 521, πρβλ. 984.

ἐξειργασμένως, ἐπίρρ. μετοχῆς παθ. πρκμ. τοῦ **ἐξεργάζομαι**, μετ' ἐπεξεργασίας, λεπτομερῶς, ἐν ἐκτάσει, Πλουτ. Ἀλέξ. 1.

ἐξείργω, Ἀττ., ἀντὶ τοῦ **ἐξέργω**, ὃ ἴδε.

ἐξείρομαι, Ἰων. ἀντὶ τοῦ **ἐξέρομαι**.

ἐξειρύω, Ἰων: ἀντὶ τοῦ **ἐξερύω**.

ἐξείρω, κυρίως = **λύω**: — ἐντεῦθεν, **I.** ἐκτείνω πρὸς τὰ ἔξω, Λατ. exsero, τὴν χεῖρα Ἡρόδ. 3. 87· τὴν γλῶσσαν Ἱππ. 535. 16· κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἵεσο Ἀριστοφ. Σφῆκ. 423. **II.** ἐξέλκω, τὴν γλῶσσαν ἐξείραντες αὐτοῦ Ἀριστοφ. Ἱππ. 378.

ἐξειρωνεύομαι, ἀποθ. = **εἰρωνεύομαι**, ἐμπαίζω, περιγελῶ, Ἰωσήπου Ἰουδ. Ἀρχ. 16. 3, 6. **II.** ὑποκρίνομαι, αὐτόθι 16. 7, 4.

ἔξεισθα, ἴδε τὸ ῥῆμα **ἔξειμι (εἶμι)**.

ἐξεκκλησιάζω: μέλλ. **-άσω**, = **ἐκκλησιάζω**, Ἀριστ. Οἰκ. 2, 14, Ἰωσήπου Ἰουδ. Ἀρχ. 17. 6. 3. — Τὰ ἀντίγραφ. συχνάκις ἔχουσι τὸν πλημμελῆ ἀόρ. **ἐξεκκλησίασα** ἀντὶ **ἐξεκλησίασα** (ἐκ τοῦ **ἐκκλησιάζω**), ὡς ἐν Θουκ. 8. 19, Λυσ. 136. 33., 137. 5· ἐντεῦθεν μεταγεν. συγγραφεῖς ἐσχημάτισαν ἡμαρτημένως τὸ ἀδόκιμον καὶ περιττὸν **ἐξεκκλησιάζω**.

ἐξελάαν, Ἐπικ. ἀπαρ. ἐνεστ. τοῦ **ἐξελαύνω**: **ἐξελᾶν** ἀπαρέμ. τοῦ Ἀττ. μέλλ.

ἐξελαιόω, καθίστημί τι ἐλαιῶδες, Θεοφρ. π. Φυτ. Αἰτ. 6, 8, 1. Παθ., γίνομαι ἐλαιώδης, αὐτόθι 6. 7, 4.

ἐξελᾰσία, ἡ, τὸ ἐξάγειν εἰς βοσκήν, ἐπὶ κτηνῶν, Πολύβ. 12. 4, 10. **II.** ἀμεταβ., ἐκστρατεία, Ψευδο-Πλουτ. βίος Ὁμ. 9.

ἐξέλᾰσις, εως, ἡ, ἔξωσις, ἐκδίωξις, ἐξορία, τῶν Πεισιστρατιδέων Ἡρόδ. 5. 76, πρβλ. 6. 88. **II.** ἀμετάβ., ὡς τὸ **ἐξελασία**, ἐκστρατεία, ὁ αὐτ. 7. 183, Ξεν. Κύρ. 8. 3, 1, κτλ.· ἔφοδος ἱππικοῦ, Πλουτ. Ἀρτοξ. 16· πρβλ. **ἔλασις**.

ἐξελαστέον, ῥημ. ἐπίθ. τοῦ **ἐξελαύνω**, δεῖ ἐξελαύνειν, Κλήμ. Ἀλ. 195.

ἐξελᾰτέος, α, ον, = τῷ προηγ., ἐξελατέα τοίνυν ἐστὶν ἡμῖν πάντα τὰ ἐπαχθῆ σκώμματα Ἰουλιαν. 300C.

ἐξελαύνω: μέλλ. **ἐξελάσω** καὶ συνηρ. **-ελῶ** Ἡρόδ. 4. 148., 5. 63, Ἀριστοφ. Ἱππ. 365: πρκμ. **-ελήλακα**: ἡ μετοχ. Ἐπικοῦ τινος ἐνεστ., **ἐξελάων** ἀπαντᾷ ἐν Ὀδ. Κ. 83· ἀπαρ. **ἐξελάαν** Ἰλ. Θ. 527, Ὀδ. Λ. 292. Ἡσ. Θ. 491. Ἐλαύνω ἔξω, ἐξάγω ἔκ τινος μέρους, ἄντρου ἐξήλασε μῆλα Ὀδ. Ι. 312, πρβλ. 227, Λ. 292· ἀπολ., ἐξάγω εἰς βοσκήν, ἐπὶ ποιμένος, Κ. 38: — ἰδίως, ἐκδιώκω ἔκ τινος τόπου, μήτι .. ἡμέας ἐξελάσωσιν γαίης ἡμετέρης Π. 381. ἐξ. τινὰ δωμάτων Αἰσχύλ. Πρ. 670· πάτρας, χθονός, γῆς Σοφ. Ο. Κ. 376, 823, κτλ.· γῆς ἐκ πατρῴας αὐτόθι 1292· ἐκ τῆς πατρίδος Ἡρόδ. 5. 91· ἐκ τῆς οἰκίας Ἀριστοφ. Νεφ. 123· ἐκ τῆς πόλεως Πλάτ. Γοργ. 468D· Τιτῆνας ἀπ' οὐρανοῦ Ἡσ. Θ. 820· — ἐξ. τινά, ἐξορίζειν, Ἡρόδ. 1. 60, Ἀριστοφ. Ἀχ. 717, Πλάτ. Ἀπολ. 30D· οὕτως ἐν τῷ Μέσῳ τύπῳ, Θουκ. 7. 5, πρβλ. 4. 35. **2)** ἐκδιώκω ἔκ τινος μέρους εἰς ἄλλο, ἐπὶ ἵππων, Αἰνείαο δ' ἐπαΐξας καλλίτριχας ἵππους ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιοὺς Ἰλ. Ε. 324, πρβλ. Κ. 499· οἱ δ' αὖ παρ' ἡμῶν .. ἐξήλαυνον ἁρμάτων ὄχους Εὐρ. Φοίν. 1190· καὶ ἐν τῷ Μέσῳ τύπῳ, ἐξάγω τοὺς ἵππους μου, Θεόκρ. 24. 117· οὕτως, ἐξελαύνειν στρατόν, στρατιήν, ἐξάγειν στρατόν, Ἡρόδ. 1. 76., 7. 38· ἐξ. νῆα λιμένος Ἀπολλ. Ῥόδ. Α. 987· ἐξάγω ἐν πομπῇ, ὅταν ἐξελαύνωσι τὸν Ἴακχον Πλουτ. Ἀλκ. 34 (ἴδε Ἡσύχ. ἐν λ. **Ἴακχος**), Μάρκελλ. 22: — ἐντεῦθεν, **β)** συχνὰ ἄνευ τῆς αἰτ., ὡς εἰ ἦν ἀμετάβ., ἐς δίφρον ὀρούσας ἐξέλασ' ἐς πληθύν, «ἀναπηδήσας εἰς τὸ ὄχημα ὀπίσω ἀνέδραμεν εἰς τὸ πλῆθος» (Θ. Γαζῆς), Ἰλ. Λ. 360, κτλ.· ἐξέρχομαι ἔφιππος, Θουκ. 7. 27, Ξεν. Κύρ. 1. 3, 3, κτλ.· ἐξ. ἐκ τῶν ἄλλων ἱππέων Λυσ. 160. 30: — πορεύομαι, ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἤθεα τὰ ἑωυτοῦ Ἡρόδ. 4. 80., 8. 13, καὶ Ἀττ: — ἐξέρχομαι ἐν πομπῇ, νῦν δὲ ἤδη διηγησόμεθα ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων Ξεν. Κύρ. 8. 3. 1. **3)** ἐπιδιώκω, ἐκβάλλω, ἀπαλλάττομαί τινος, τῶν ὀμμάτων τὸ αἰδούμενον Πλούτ. 2. 654D· διὰ πλύσεως, πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων Καλλ. Λουτρὰ Παλλ. 6. **II.** διὰ κτυπήματος ἐκβάλλω, ἐκκρούω, χαμαὶ δέ κε πάντας ὀδόντας γναθμῶν ἐξελάσαιμι Ὀδ. Σ. 29. **III.** σφυρηλατῶ, ἐξ. ἡμιπλίνθια ἐκ χρυσοῦ Ἡρόδ. 1. 50· ἐθηεῖτο σίδηρον ἐξελαυνόμενον αὐτόθι 68, πρβλ. 7. 84· κέντρον ἐπὶ λεπτὸν ἐξελ. Πολύβ. 6. 22, 4. — Περὶ τοῦ παθ. ἀορ. ὅτι ὁ δόκιμος τύπος αὐτοῦ εἶναι **ἐξηλάθην** καὶ οὐχὶ **ἐξηλάσθην** καὶ τοῦ παθ. πρκμ. **ἐξελήλαμαι** καὶ οὐχὶ **ἐξελήλασμαι**, ἴδε Κόντον ἐν Ἀθηνᾶς τ. Γ', 340.

ἐξελεγκτέος, α, ον, ῥημ. ἐπίθ. τοῦ **ἐξελέγχω**, ὃν δεῖ ἐξελέγχειν, Πλάτ. Γοργ. 508A.

ἐξελέγχω, ἐπιτεταμένος τύπος τοῦ **ἐλέγχω**, ἀποδεικνύω ἔνοχον, ἐξελέγχω, ἀναιρῶ, Σιμωνίδ. 75, Σοφ. Ο. Τ. 297· ἐξετάζω, ὁ αὐτ. Ἀντ. 399· ἀνασκευάζω, Ἀριστοφ. Νεφ. 1062· τοῖς ἔργοις τοὺς λόγους ἐξ. Ἀντιφῶν 147. 6· ἐν τῷ δήμῳ ἐξελ. τινὰ Δημ. 519 21: — Παθ., ἐπ' αἰτίᾳ τινὶ ἐξελέγχεσθαι Λυσ. 107. 8· ὑπ' εἰκότων Ἀντιφῶν 116. 7· ἔκ τινος Ἀριστοφ. Βάτρ. 960· ἀποδεικνύομαι, ἐξελεγχόμενος περὶ τοῦ καλοῦ, ὅτι οὐδ' αὐτὸ τοῦτο ὅ τί ποτ' ἔστιν οἶδα Πλάτ. Ἱππ. Μείζων 304D· ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἀναιρεθήσονται ὑπ' ἐμοῦ διὰ τῶν πραγμάτων, ὁ αὐτὸς Ἀπολ. 17B. **2)** μετὰ διπλῆς αἰτ. προσώπου ἢ πράγμ., ἀποδεικνύω τινὰ ὅτι δὲν γινώσκει τι, ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω αὐτόθι 23A. Λυσ. 222D: — Παθ., τοσοῦτον .. ἡλίκον οὗτος νῦν ἐξελήλεγκται, ἀπεδείχθη νῦν ὅτι εἶναι ἔνοχος, Δημ. 562. 8· οὐ τοῦτό γ' ἐξελέγχομαι, εἰς τοῦτο βεβαίως ἐγὼ δὲν πταίω, Εὐρ. Ἠλ. 36. **3)** μετὰ κατηγορουμένου κατὰ μετοχ., εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν Πλάτ. Γοργ. 522D· οὕτως, ἐξελέγχειν τινὰ ὡς .. αὐτόθι 482B: — Παθ., κἀξελέγχεται .. κάκιστος ὢν Εὐρ. Ἱππ. 944· ἐξελέγχεται συμβεβουλευκὼς Δημ. 242. 26. **II.** φέρω εἰς τὸ φανερόν, ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον χρόνος, «καὶ ὁ χρόνος ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς» (Σχόλ.), Πινδ. Ο. 11 (10). 65· ἐν δικαστηρίῳ, Αἰσχύλ. Εὐμ. 433· πειρῶμαι, δοκιμάζω, μήτε τὴν τύχην λίαν ἐξελέγχειν Πολύβ. 21. 11, 4, κτλ.· ἐξ. τοὺς Θηβαίους εἰ διαμαχοῦνται Πλουτ. Ἀγησ. 19: — Παθ., πάντες ἦσαν ἐξεληλεγμένοι, πάντων αἱ διαθέσεις ἦσαν καλῶς ἐγνωσμέναι, Δημ. 233. 3· ἃ δ' ἡ φύσις ἀεὶ ἐβούλετο ἐξηλέγχθη ἐς τὸ ἀληθές, ὅσα δὲ ἡ ἔμφυτος ἡμῶν διάθεσις διαρκῶς ἐπεθύμει ἐφανερώθησαν κατὰ τὴν ἀληθῆ αὐτῶν ὄψιν, Θουκ. 3. 64· δοκιμάζομαι, χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρὶ Μένανδρ. ἐν Ἀδήλ. 143. **III.** ἀπαριθμῶ, ἀλλὰ χαλκὸν μυρίον (τὰ χαλκᾶ σκεύη) οὐ δυνατὸν ἐξελέγχειν Πινδ. Ν. 10. 5.

ἐξελευθερικός, ὁ, ἐκ τῆς τάξεως τῶν ἀπελευθέρων ἢ τὸ τέκνον ἀπελευθέρου, Λατ. libertinus, Διον. Ἁλ. 4. 22, Πλουτ. Ἀντ. 58, ἴδε **ἀπελευθερικός**. **II.** ὡς ἐπίθ., νόμοι ἐξελ., νόμοι ἀποβλέποντες εἰς τοὺς ἀπελευθέρους, Δημ. παρὰ Πολυδ. Γ', 83· καθάρμασιν ἐξελευθερικοῖς, εἰς πρόστυχα ἀνθρωπάρια ἐκ τῶν ἀπελευθέρων, Πλουτ. Σύλλ. 33.

ἐξελευθέριος, ον, διάφορ. γρ. ἀντὶ **ἐλευθέριος** παρὰ Πορφυρίῳ ἐν βίῳ Πυθαγ. 21.

ἐξελεύθερος, ὁ, ἡ, ὁ ἐκ δούλου ἐλεύθερος γενόμενος, ἀπελεύθερος, Λατ. libertus, libertinus, Κικ. πρὸς Ἀττ. 6. 5, 1, Συλλ. Ἐπιγρ. 5903. Κατὰ τὸν Ἀμμώνιον, «ἀπελεύθερος καὶ ἐξελεύθερος διαφέρουσιν· ἀπελεύθερος μὲν γάρ ἐστιν ὁ ἐκ δούλου ἠλευθερωμένος, ἐξελεύθερος δὲ ὁ γενόμενος διὰ χρέα προσήλυτος, ἢ κατ' ἄλλην τινὰ αἰτίαν δουλεύσας, εἶτα ἐλευθερωθείς, ἤδη μέντοι καὶ ἀδιαφόρως χρῶνται τοῖς νοήμασιν», πρβλ. Εὐστ. 1751. 2· ἡ χρῆσις ἐν τούτοις δὲν ἐπιβεβαιοῖ τὴν διάκρισιν ταύτην. Καθ' Ἡσύχ. «ἐξελεύθεροι· οἱ τῶν ἐλευθερουμένων υἱοί».

ἐξελευθεροστομέω, ἐπιτεταμ. ἀντὶ τοῦ **ἐλευθεροστομέω**, θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς Σοφ. Αἴ. 1258.

ἐξελευθερόω, ἀπελευθερῶ, Δίων Κ. 36. 25. Καθ' Ἡσύχ. «ἐξηλευθέρωται ὁ δοῦλος, ὁ δὲ πράγματος ἀπολυθεὶς ἠλευθέρωται».

ἐξέλευσις, εως, ἡ μεταγεν. λέξις ἀντὶ ἔξοδος, Ἑβδ. (Β', Βασιλ. ΙΕ', 20), Τζέτζ. Ἐξήγ. Ἰλ. σ. 111, 19, κλ.

ἐξελεύσομαι, **ἐξελθεῖν**, μέλλ. καὶ ἀπαρέμφ. ἀορ. β' τοῦ **ἐξέρχομαι**.

ἐξελιγμός, ὁ, ἐξέλιξις στρατεύματος, πρὸς ἀντιπαράταξιν, ἐναντίον ἄλλου, Ἀρρ. Τακτ. 27, Θεμίστ. 2Β. Καθ' Ἡσύχ. «ἐξελιγμός· κίνησίς τις παρὰ τοῖς τακτικοῖς ἡ ἐνόπλιος». **I**) ἑλικοειδὴς κίνησις, ἐπὶ λαγοῦ διωκομένου ὑπὸ κυνῶν, ἐν τοῖς ἐξελιγμοῖς Ἀρρ. Κυν. 16. 3. **III**. κίνησις, περιστροφή, ἄστρων Θεολ. Ἀρ. σ. 74.

ἐξελίκτρα, ἡ, τροχαλία, «μακαρᾶς», Ἀρχ. Μαθημ. σ. 220. 67, καὶ **ἐξέλικτρον**, τό.

ἐξέλιξις, εως, ἡ ἐξελιγμός, ἀνάπτυξις, λόγων Πλωτῖνος 5. 7, 3· ἐπὶ στρατιωτικῶν κινήσεων, Ἀριστείδ. Κοϊντ. 2. σ. 71.

ἐξελίσσω, Ἀττ. **-ττω**: μέλλ. -ξω, ἐκτυλίσσω, ἀνοίγω, φέρ', ἐξελίξας περιβολὰς σφραγισμάτων ἴδω τί λέξαι δέλτος ἥδε μοι θέλει Εὐρ. Ἱππ. 864· μεταφ., ἀναπτύσσω, ἑρμηνεύω, Λατ. explicare, σὺ δ' ἐξελίσσεις πῶς θεοῦ θεσπίσματα; ὁ αὐτ. Ἰκ. 141· διηγοῦμαι, ἐν Ἴωνι 397:—Παθ., ὁ .. κύκλος .. ἴσην ἐξελίττεται γραμμήν, ἐκτυλίσσεται οὕτως ὥστε νὰ σχηματίσῃ ἴσην γραμμήν, Ἀριστ. Μηχαν. 24, 1, πρβλ. Προβλ. 16. 6, 2. **2**) ἐπὶ πάσης ταχείας κινήσεως, ἔνθα Νηρῄδων χοροὶ κάλλιστον ἴχνος ἐξελίσσουσι ποδὸς Εὐρ. Τρῳ. 3· ἐξελίσσειν τινὰ κύκλῳ, διώκειν τινὰ πέριξ τινὸς πράγματος, ὁ δ' ἐξελίσσων παῖδα κίονος κύκλῳ ὁ αὐτ. Ἡρ. Μαιν. 977· οἱ δὲ περὶ τὸν νομέα κύκλους ἀγερώχους ἐξελίττοντες, κάμνοντες γύρους, Ἡλιόδ. 5. 14, πρβλ. Πλούτ. 2. 368Α· ἐπὶ τοῦ λαγωοῦ, τρέχων κάμνω ἑλιγμούς, αἰφνιδίως ἀλλάσσω δρόμον, ὁ μὲν ἐξελίξας τὸν δρόμον ... ἵεται τοῦ πρόσω Ἀρρ. Κυν. 17, 3· οὕτω καὶ ἐν τῷ Παθ., αὐτόθι 16, 3· ἡ ἀμεταβ. ἐν τῷ ἐνεργ., ἐξελίττει τῇ καὶ τῇ Αἰλ. π. Ζ. 13. 14· καί, ἐξ. ἑαυτόν, διαφεύγειν, αὐτόθι 16:—ἀκολούθως, συχνάκις ἀμεταβ., περιστρέφομαι, ἐπὶ δεξιὰ ἐξελίττειν Πλουτ. Κάμιλλ. 5· καὶ μετ' αἰτ. τόπου, τοὺς κόλπους ἐξελίσσων, ἀκολουθῶν τὰς καμπὰς τῶν κόλπων, Ἀππ. Ἐμφυλ. 5. 84· ἐξ. τὴν τάφρον, στραφεὶς περὶ τὴν τάφρον, Πλουτ. Πύρρ. 28. **II**. ὡς στρατιωτικὸς ὅρος = **ἀναπτύσσειν**, Λατ. explicare; ἐκτείνω τὸ μέτωπον τῆς φάλαγγος δι' ἐλαττώσεως τοῦ βάθους ἢ μεταβάλλω οἱανδήποτε πλευρὰν τῆς φάλαγγος εἰς μέτωπον, ἢ ἐκ δεξιᾶς ἢ ἀριστερᾶς ἢ ὄπισθεν ἐπιφανέντων πολεμίων ὀρθῶς ἐξελίξαι Ξεν. Κύρ. 8. 5, 15, Ἑλλ. 4. 3, 18, πρβλ. Λίβ. 44. 37· ἐξελίττεται ὁ στίχος Ξεν. Λακεδ. Πολ. 11. 8. **2**) ἐν τῷ παθ., ἀποσύρομαι, Πλουτ. Αἰμίλ. 17· καὶ ἐν τῷ ἐνεργ. ἀμεταβάτως, ἀναγκαζομένους ἐξελίττειν συνεχῶς ὁ αὐτὸς ἐν βίῳ Τιμολ. 27· καὶ ἐπὶ πλοίων, Πολύβ. 1. 51, 11.

ἐξελκόω, καθιστῶ τι ἑλκῶδες, Λατ. exulcerare, ἐξελκοῖ (τὴν σάρκα) διὰ πικρότητα τοῦ χυμοῦ Ἀριστ. Προβλ. 5. 27· τὸ πρόσωπον ἐξήλκωσε Διόδ. 14. 88· παθ., καθίσταμαι ἑλκώδης, ἐξελκοῦται τὸ χωρίον Ἱππ. Ἀρχ. Ἰητρ. 15· ἐξελκοῦσθαι τὸ σῶμα Ἰωσήπου Ἰουδ. Ἀρχ. 2. 14, 4.

ἐξελκτέον, ῥηματ. ἐπίθ. τοῦ **ἐξέλκω**, δεῖ ἐξέλκειν, γόνυ πρός τι Εὐρ. Ἠλ. 491.

ἐξελκυσμός, ὁ, μεταγωγὴ ὀστοῦ ἢ ὀστῶν ἐκ τῆς ἐπιφανείας εἰς βάθος, Συγγρ. Ἰατρ. Ὁρισμ.

ἐξέλκω: ἀόρ. α' **-είλκυσα**, ἀπαρ. **-ελκύσαι** Ἀριστοφ. Εἰρ. 315, 506.—Παθ. **-ελκυσθῇ** Ἡρόδ. 2. 70 (ἴδε τὸ ῥῆμα **ἕλκω**). Ἕλκω ἔξω, Ἰλ. Ψ. 762 (ἴδε τὴν λ. **πηνίον**)· μετὰ γεν. τόπου, Ὀδ. Ε. 432 (ἴδε τὴν λ. **θαλάμη**)· φάσγανον .. ἐξ. κολεοῦ Εὐρ. Ἑκ. 544· δουλείας ἐξ., σῴζειν ἀπὸ τῆς δουλείας, Λατ. eripere, Πινδ. Π. 1. 146· δύστηνον ἐξέλκων πόδα, περὶ τοῦ Φιλοκτήτου, ὅστις εἶχε δεινὸν ἕλκος εἰς τὸν πόδα, Σοφ. Φιλ. 291· καὶ ἀπολ., ἐξέλκει δὲ (κατὰ τοὺς μὲν ἐξυπακ. πόδα, κατ' ἄλλους δὲ ἑαυτόν, καὶ κατὰ τὸν Heath φάσγανον) Εὐρ. Ἀνδρ. 1121· ἐξέλξω σε τῆς πυγῆς θύραζε Ἀριστοφ. Ἱππ. 365 (κατὰ Πόρσ. ἀντὶ τοῦ ἐξελῶ)· ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην, ἑλκύσαι αὐτὴν ἔξω τοῦ ἄντρου, Ἀριστοφ. Εἰρ. 294, πρβλ. 307, 315, 506, 511·—σπανίως παρὰ πεζογράφοις, ὡς παρὰ Πλάτ. ἐν Πολ. 515Ε· ἐξελκυσθεὶς Ἀριστ. Πολιτικ. 5. 10, 19.

ἐξέλκωσις, εως, ἡ, τὸ ἐξελκοῦν ἢ ἐξελκοῦσθαι, τῶν χειρῶν Διόδ. 3. 28 (;)

ἐξελληνίζω, μεταβάλλω εἰς Ἑλληνικόν· ἐξελληνίζω ὄνομα, δίδω εἰς αὐτὸ Ἑλληνικὴν παραγωγήν, Πλουτ. Νουμ. 13· δίδω εἰς λέξιν τινὰ Ἑλληνικὸν τύπον, Κίτιος ὑπὸ τῶν ἐξελληνισάντων αὐτὴν καλεῖται Ἰωσήπ. Ἰουδ. Ἀρχ. 1. 6, 1.

ἐξέμεν, Ἐπικ. ἀπαρ. ἀορ. β' τοῦ **ἐξίημι**, Ἰλ. Λ. 141.

ἐξέμεν, Ἐπικ. ἀπαρ. τοῦ μέλλ. τοῦ **ἔχω**, Ἰλ. Ε. 473.

ἐξέμεσις, ἡ, τὸ ἐξεμεῖν, Ἐπιφάν. II. 517D.

ἐξεμετικός, ή, όν, ὁ προξενῶν ἔμετον, Νικηφ. Χοῦμν. ἐν Ἀνεκδ. Boiss τ. 3. σ. 371.

ἐξεμέω: μέλλ. **-έσω**, ἐξεμῶ, «ξερνῶ», ἐπὶ τῆς Χαρύβδεως, ἦ τοι ὅτ' ἐξεμέσειε Ὀδ. Μ. 237· ὄφρ' ἐξεμέσειεν ὀπίσσω αὐτόθι 437· πρβλ. Ἡσ. Θ. 497 (ἔνθα ὁ παράδοξος ἀόρ. **ἐξήμησε** ἴσως ἔπρεπε νὰ διορθωθῇ **ἐξήμεσσε**)· ἐξεμέσαι τὸ νόσημα Πλάτ. Πολ. 406D· μεταφ., τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν Ἀριστοφ. Ἀχαρν. 6· ἅττ' ἂν κεκλόφωσί μου ὁ αὐτ. Ἱππ. 1148. **2**) ἀπολ., ἐμῶ, «ξερνῶ», ὁ αὐτ. Ἀχ. 586, Βάτρ. 11.

ἐξέμμορε, ἴδε ἐν λ. **μείρομαι** II.

ἐξέμπαλιν, «ἐπαριστέρως» Ἡσύχ.

ἐξεμπεδόω, φυλάττω πιστῶς, τηρῶ, τὰς συνθήκας Ξεν. Κύρ. 3. 1, 21. Καθ' Ἡσύχ. «ἐξημπέδου· ἔλυε τὰ ἔμπεδα».

ἐξεμπλάριον, τό, = Λατ. exemplar, Ἰγνατ. Τραλλ. 3, Μεθόδ. 388Α.

ἐξεμπολάω, Ἰων. **-έω**, ἐπιτεταμένον ἀντὶ τοῦ **ἐμπολάω**, οὐδ' ὅποι πλέων ἐξεμπολήσει κέρδος, νὰ κάμῃ ἐπικερδῆ πώλησιν, Σοφ. Φιλ. 303·—ἐξημπόλημαι, ἐπωλήθην ὡς ἐμπόρευμα, ὁ αὐτ. Ἀντ. 1036. **II**. πωλῶ ἐντελῶς, «ξεπουλῶ», ἐξεμπολήσας δὲ τὸν φόρτον ἐν ταῖς τῶν Τυρρηνῶν πόλεσιν Διον. Ἀλ. 3. 46.—Παθ., ἐξημπολημένων σφι .. Ἡρόδ. 1. 1.

ἐξεναίρω, ἐπιτεταμένον ἀντὶ τοῦ **ἐναίρω**, ἀπαρέμφ. τοῦ ἀορ. **ἐξεναρεῖν**, Ἡσ. Ἀσπ. Ἡρ. 329.

ἐξέναντι, ἐπίρρ., ἀκριβῶς ἀπέναντι, τοῦ μνημείου Συλλ. Ἐπιγρ. 2664.

ἐξεναντίας, Ἐπίρρ. = ἐξ ἐναντίας (ἴδε **ἐναντίος** II. 2), ἀπέναντι, Ἑβδ. (Α' Μακκ. Δ', 12)· μετὰ γεν., κατέναντι, ἐνώπιον, αὐτόθι (Α. Δ', 17, κ. ἀλλ.).

ἐξεναρίζω: μέλλ. **-ίξω**, ἐπιτεταμένον ἀντὶ τοῦ **ἐναρίζω**, σκυλεύω, «ξεγυμνώνω» ἐχθρὸν φονευθέντα ἐν τῇ μάχῃ, ἀφαιρῶ τὰ ὅπλα αὐτοῦ, τεύχεα δ' ἐξενάριξε Ἰλ. Η. 146, Ν. 619. **2**) ἀποκτείνω, φονεύω, τοῖον ἄρ' Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν Αἴας διογενὴς Ἰλ. Δ. 488, Ε. 151· ὃν πατέρα ἐξαναρίξας Ὀδ. Λ. 273· ἐξενάριξεν ἔγχεϊ χαλκείῳ Ἰλ. Ζ. 30, πρβλ. Ἡσ. Θ. 289.—Παρ' Ὁμ. συνηθέστερον τοῦ ἁπλοῦ ῥήματος.

ἐξενεῖκαι, **-νειχθῆναι**, Ἰων. ἀπαρ. ἀορ. α' ἐνεργ. καὶ μέσ. τοῦ **ἐκφέρω**.

ἐξενέπω, διακηρύττω, τὰ μακρὰ ἐξενέπειν ἐρύκει με τεθμός, «μακρῶς διελθεῖν κωλύομαι ... ὁ νόμος οὖν τοῦ ἐγκωμίου κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι» (Σχόλ.), Πινδ. Ν. 4. 53· ἐξένεπε .. Αἴγιναν πάτραν, ἀνεκήρυξεν ὅτι ἡ Αἴγινα ἦτο ἡ πατρὶς αὐτοῦ, ὁ αὐτὸς Ο. 8. 26. **2**) ἀπολ., ὁμιλῶ, λέγω, Ἀπολλ. Ῥόδ. Α. 764.

ἐξενεχυριάζω, ἐπιτετ. ἀντὶ τοῦ **ἐνεχυριάζω**, Διογ. Λ. 6. 99.

ἐξενιαυτίζω, διέρχομαι ὁλόκληρον ἐνιαυτὸν ἐν ἐξορίᾳ, Σχόλ. εἰς Εὐρ. Ὀρ. 1645.

ἐξεντερίζω, ἐκβάλλω τὰ ἔντερα, ἐν τῷ Παθ., ἐξεντερισθεῖσα (ἡ σαλαμάνδρα) Διοσκ. 2. 67· ἐπὶ φυτῶν, ἀφαιρῶ τὴν ἐντεριώνην, περὶ ἐλλεβόρου, ὁ αὐτὸς 4. 151 ἐν τῷ παθ.

ἐξεπᾴδω: μέλλ. **-ᾴσομαι**, καταπραΰνω δι' ἐπῳδῶν, Πλάτ. Φαίδων 77Ε, Πλούτ. 2. 384Α:—Παθ., ἀλλὰ νουθετούμενοι φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φύσιν, καταπραΰνεται διὰ φιλικῶν νουθεσιῶν ἐν εἴδει ἐπῳδῆς γινομένων ἡ ἐν ὀργῇ διατελοῦσα ψυχικὴ αὐτῶν διάθεσις, Σοφ. Ο. Κ. 1194.

ἐξεπαίρω, διεγείρω, παρορμῶ τινα νὰ πράξῃ τι, μετ' ἀπαρ., δέδοικα μή τῶν Λακώνων τινὲς .. τὰς .. γυναῖκας ἐξεπαίρωσιν δόλῳ καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν Ἀριστοφ. Λυσ. 622· μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα, ὅ σ' ἐξεπαίρῃ μεῖζον ἢ χρεὼν φρονεῖν Ποιητὴς παρὰ Πλουτ. 2. 102F.

ἐξεπερείδω, πλημμ. γρ. ἀντὶ τοῦ **ἐξερείδω**, Πολύβ. 16. 11, 5.

ἐξεπεύχομαι, Ἀποθ., καυχῶμαι ὅτι, μετ' ἀπαρ., κάξαπεύξασθαι ... τῶνδ' ἐπιψαῦσαι μόνον Σοφ. Φιλ. 668.

ἐξικνέομαι: μέλλ. **ἐξίξομαι**: ἀόρ. **ἐξικόμην**: Ἀποθ. Ἔρχομαι, φθάνω εἴς τι μέρος, παρ' Ὁμήρῳ ἀείποτε κατ' ἀόρ. καὶ κατὰ τὸ πλεῖστον μετ' αἰτ. τόπου, ἄλλων ἐξίκετο δῆμον Ἰλ. Ω. 481, κτλ.· Φθίην δ' ἐξικόμην ἐριβώλακα .. ἐς Πηλῆα ἄνακτα Ι. 475· οὕτω καὶ παρὰ Πινδ. καὶ τοῖς Τραγ., ὡς Αἰσχύλ. ἐν Πρ. 810, Εὐμ. 1025· ὡσαύτως μετὰ προθέσ., ἐξικέσθαι ἐς βυσσὸν Ἡρόδ. 2. 28· ἐς ἥβην Σοφ. Ἀπόσπ. 517. 6· ἐπ' ὄρος Αἰσχύλ. Ἀγ. 303· πρὸς πεδία ὁ αὐτὸς Πρ. 793· πρὸς τὸν προκείμενον ἄεθλον Ἡρόδ. 4. 10. **II**. μετ' αἰτ. **1**) προσώπου, ἔρχομαι εἴς τινα ὡς ἱκέτης, Ὀδ. Ν. 206, Υ. 223, Πινδ. **2**) πράγματος, φθάνω εἴς τι, σοφίας ἄωτον ἄκρον Πινδ. Ι. 7 (6). 26· ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι, διαπράξασθαι, ἐπιτελέσαι (πρβλ. **ἐξέρχομαι** Ι. 3), Θουκ. 1. 70, πρβλ. Πλάτ. Πρωτ. 311D· τοῖς τεθνηκόσι γὰρ ἔλεγεν .. οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα (καθ' ἕλξιν ἀντὶ οὕς) Ἀριστοφ. Βάτρ. 1176, πρβλ. Πλούτ. 2. 347D: — μετὰ γεν., Εὐρ. Ἠλ. 612· ἀλλήλων Ξεν. Ἑλλην. 7. 5, 17· ὡσαύτως, πρός τι Πολύβ. 1. 3, 10, κτλ. **3**) ἀπολ., φθάνω εἴς τινα ἀπόστασιν, ἐπὶ βέλους, ὅσον τόξευμα ἐξικνέεται Ἡρόδ. 4.139· ἐπὶ τῆς ὁράσεως, ἐπὶ πολλὰ στάδια ἐξ. Ξεν. Ἀπομν. 1. 4, 17; πρβλ. 2. 3, 19, Εὐρ. Βάκχ. 1060: — ἐπὶ διανοητικῶν ἐνεργειῶν, ὅσον δυνατός εἰμι μακρότατον ἐξικέσθαι ἀκοῇ, ἐφ' ὅσον μακρότατον χρονικὸν διάστημα δύναμαι νὰ φθάσω ἐρευνῶν τὰ ἀκουόμενα, Ἡρόδ. 1.171· ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξικέσθαι ἀκοῇ ὁ αὐτὸς 2. 34, πρβλ. 4.16, 192 ἐξ. ἐπ' ἀμφότερα φρονήσει Πλάτ. Ἱππ. Μείζων 281D· περαιτέρω ἐξ. τῇ θεωρίᾳ Πλουτ. Σόλ. 3. **6**) ἐπὶ πραγμάτων, ἐξαρκῶ, «φθάνω», ἂν .. ἐξικνῆται τὰ ἡμέτερα χρήματα Πλάτ. Πρωτ. 311D.

ἐξίκω, = **ἐξικάνω**, Ὀρφ. Ἀργον. 394· — ἐν Σοφ. Ο. Τ. 1182, πλημμελ. γραφ. ἀντὶ **ἐξήκω**.

ἐξιλαρόω, καθιστῶ τινα ἱλαρόν, φαιδρόν, ἐξιλάρου τοὺς παρόντας Ἀθήν. 420E.

ἐξίλᾰσις, **εως**, ἡ, (ἐξιλάσκομαι) ἐξιλασμός, ἐξιλέωσις, Διογ. Λ. 1.110, Ἑβδ. (Ἀριθμ. ΚΘ', 11), Ἰάμβλ. 43. 8.

ἐξῑλάσκομαι: μέλλ. **-άσομαι** [ᾰ], Ἐπικ. **-άσσομαι**, Ἀποθ., ἐξιλεῶ, οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι Χρησμὸς παρ' Ἡροδ. 7. 141· Ἀπόλλωνα Ξεν. Κύρ. 7. 2, 19· τὴν θεὸν ἐξιλάσαντο Μένανδρ. ἐν «Δεισιδαίμονι» 4· τὴν ὀργήν τινος Πολύβ. 1. 68, 4· τὸ μήνιμα Πλούτ. 2. 149D. — Παθ., τὸ ἀποίνοις ἐξιλασθέν, τὸ ἐξιλεωθὲν δι' ἀποίνων, Πλάτ. Νόμ. 862C. **2**) ἀπολύτως, ποιῶ ἐξιλασμούς, περί τινος Ἑβδ. (Ἔξ. Λ', 15, κ. ἀλλ.). [ἐν τῷ ἀνωτ. μνημονευθέντι χρησμῷ παρ' Ἡροδ. τὸ ι βραχύ].

ἐξίλασμα, τό, ἐξιλαστήριος προσφορά, Ἑβδ. (Α' Βασιλ. ΙΒ', 3, Ψαλμ. ΜΗ', 8).

ἐξιλασμός, ὁ, τὸ ἐξιλάσκεσθαι, Ἑβδ. (Λευϊτ. ΚΓ', 27, κ. ἀλλ.).

ἐξιλαστέον, ῥημ. ἐπίθ. τοῦ **ἐξιλάσκομαι**, δεῖ ἐξιλάσκεσθαι, Συνεσίου Ἐπιστ. 44, σ. 184.

ἐξιλαστήριος, **ον**, ἱλαστήριος, ἐξιλεωτικός, Σχόλ. εἰς Ἀπολλ. Ῥόδ. Β' 486· καὶ **ἐξιλαστικός**, **ή**, **όν**, Κορνοῦτ. π. Θ. Φύσ. 32 ἐν τέλ., Σχόλ. εἰς Αἰσχύλ. Θήβ. 268.

ἐξῑλεόω, = **ἐξιλάσκομαι**, ἐξιλεώνω, καταπραΰνω, Ἑβδ. (Β' Βασιλ. ΚΑ', 9, διάφ. γραφ.).— Μέσ. ἐν Στράβωνι 198.

ἐξῑλέωμα, τό, ἐξίλασμα, Ἡσύχ. ἐν λ. **ἀποτροπίασμα**.

ἐξιλέωσις, ἡ, = **ἐξιλασμός**, Σχόλ. εἰς Αἰσχύλ. Πέρσ. 288.

ἐξιλεωτικός, **ή**, **όν**, = **ἐξιλαστικός**, Τρίκλ. εἰς Σοφ. Αἴ. 1164.

ἐξίλλω, ἴδε **ἐξείλλω**.

ἐξίμεναι, ποιητ. ἀπαρ. τοῦ **ἔξειμι**, ὃ ἴδε.

ἐξῑνιάζω (ἶνες) ἐξάγω, ἀφαιρῶ τὰς ἶνας, Ἀθήν. 406A, Ἀρρ. Περίπλ. Ἐρυθρ. Θαλ. 178, ἔκδ. Blanc.

ἐξῑνίζω, = τῷ προηγ., Ὀρειβάσ. 276, ἔκδ. Darenb.

ἐξῑνόω, ἀφαιρῶ τὰς ἶνας, καταστρέφω, Λυκόφρ. 841· ἀλλ' **ἐξινώμενος** (ἐξ ἐνεστ. **ἐξινάω**) = **κεκαθαρμένος** ἐν Κωμικ. Ἀνων. 318. Πρβλ. **ὑπέρινος**. Καθ' Ἡσύχ.: «ἐξινώμενον· ἐκκενούμενον, ἐκστραγγιζόμενον· λέγεται δὲ ἐπὶ τῶν χολὴν καθαιρομένων».

ἐξῐονθίζω (ἴονθος), φύω, «ἐξιονθίζω τρίχα, ἐκδίδωμι· ἔστι γὰρ ἴονθος ῥίζα τριχῶν ἢ τὸ ὑπερέχον» Ἡσύχ. Ὁ Ἀπολλ. ἐν Λεξικῷ Ὁμηρ. λέγει: «τὰς γὰρ τῶν τριχῶν ῥίζας ἰόνθους λέγει Σοφοκλῆς ἐν Χρύσῃ, ἐγὼ μέλαιναν ἐξιονθίζω τρίχα» (Σοφ. Ἀποσπ. 653).

ἐξῑόω, καθαρίζω, ἀφαιρῶ τὸν ἰόν, «ξεσκωριάζω», ὁ χαλκεὺς ἐξιώσει τὸ σιδήριον Ἀρρ. Ἐπίκτ. 4.11,13.

ἐξῑπόω, ἐκθλίβω διὰ τῆς πιέσεως, ἐκπιέζω, ἐκβάλλω, Ἱππ. π. Ἄρθρ. 817· ξηραίνω ἐντελῶς, Ἀριστείδ. 2. 349 ἐν τέλει. **II**. πιέζω ἰσχυρῶς, Ἀριστοφ. Λυσ. 291.

ἐξιππάζομαι: μέλλ. **-άσομαι**, Ἀποθ., ἐξέρχομαι ἢ ἀπέρχομαι ἔφιππος, ἐξιππεύω, ἐξιππάσατο διὰ τῶν πυλῶν Πλουτ. Καῖσ. 27.

ἐξιππεύω, = τῷ προηγ., ἐξίππευσεν ἐπὶ τὴν θάλασσαν Πλουτ. Ἄρατ. 42· ἔς τινας Ἀππ. Ἀννιβ. 35, ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 32.

ἕξ-ιππον, τό, ἅρμα ἔχον ἓξ ἵππους, Κωμικ. Ἀνών. 98, Πολύβ. 31. 3,11.

ἐξίπταμαι, μεταγεν. τύπος τοῦ **ἐκπέτομαι**, Ἀριστ. Ἀποσπ. 270, κτλ.

ἐξιπωτικός, **ή**, **όν**, δυνάμενος ἐξιποῦν, καθαίρειν, καθαρτικός, ἐξιπωτικὰ φάρμακα, ἐλαφρὰ καθαρτικὰ φάρμακα, οὐχὶ ἰσχυρῶς καὶ ἀθρόως ἐνεργοῦντα, Γαληνὸς XIII, 686A, καὶ ἀλλαχοῦ, ἔκδ. Charter. Lutetiae 1697.

ἕξις, **εως**, ἡ, (**ἕξω**, μέλλ. τοῦ **ἔχω**). **I**. (**ἔχω** μεταβ.) τὸ ἔχειν ἢ κατέχειν τι, ἐπιστήμης ἕξις, ἐν ἀντιθ. πρὸς τὸ **κτῆσις**, Πλάτ. Θεαίτ. 197B· νοῦ ὁ αὐτ. ἐν Κρατ. 414B· ἡ τῶν ὅπλων ὁ αὐτ. ἐν Νόμοις 625C· πρβλ. Πολ. 433E, Σοφιστ. 247A, κ. ἀλλ., Ἀριστ. Μετὰ τὰ Φυσ. 4. 20,1. **II**. (**ἔχω** ἀμεταβ.) τὸ εὑρίσκεσθαι ἔν τινι καταστάσει, διαρκὴς κατάστασις προκύπτουσα ἕνεκα συνηθείας ἢ ἀσκήσεως (πράξεως) διαφέρουσα τῆς σχέσεως (ἥτις μεταβάλλεται). **1**) κατάστασις ἢ διάθεσις τοῦ σώματος, Ἱππ. Ἀφ. 1245· ἔτι καὶ ἰδιαιτέρου μέρους τοῦ σώματος, ἕξις λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὁ αὐτὸς π. Ἄρθρ. 789· ἕξις, συνήθεια, ὡς καὶ νῦν, ταύτην γὰρ τὴν ἕξιν ὑγιεινὴν .. ἱκανῶς εἶναι .. ἔφη Ξεν. Ἀπομν. 1. 2, 4, Πλάτ. **2**) κατάστασις ἢ συνήθεια τῆς ψυχῆς, ἐν ἀντιθέσει πρὸς τὴν **δύναμιν** (φυσικὸν προσόν), Πλάτ. Νόμοι 650

B, κτλ.· ἡ ἐν τῇ ψυχῇ ἕξις, ἡ ἐν τῇ ψυχῇ ἐνυπάρχουσα κατάστασις, ὁ αὐτὸς ἐν Θεαιτ. 153B πονηρᾷ ψυχῆς ἕξει αὐτόθι 167A· ἕξιν τινὰ λαμβάνειν ὁ αὐτὸς Πολ. 591B·— ἰδίως πρόσκτητος συνήθεια, ἐν ἀντιθ. πρὸς τὸ **ἐνέργεια**, ἐν ἕξει ἢ ἐνεργείᾳ Ἀριστ. Ἠθ. Ν. 1. 8, 9., 2. 1, 7., 3. 7. 6, κ. ἀλλ.· ἀλλ' ἐνίοτε περιλαμβάνει τὴν ἐνέργειαν, ὁ αὐτὸς Μετὰ τὰ Φυσ. 4. 20. **3**) ἐπιτηδειότης, ἱκανότης, ὡς ἀποτέλεσμα ἀσκήσεως ἢ πείρας, Πλάτ. Φαῖδρ. 268E, Ἀριστ. Προβλ. 30. 2, κτλ.·— πρβλ. **ἑκτικός**.

ἐξῐσάζω, κάμνω τι ἴσον, ἰσάζω, Σχόλ. εἰς Ἰλ. N. 745.— Μέσ., κάμνω ἐμαυτὸν ἴσον, ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου Ἑβδ. (Σειρ. ΛΕ' (ΛΒ') 9): — Παθ., εἶμαι ἴσος, τινὶ Στράβ. 84.

ἐξισασμός, ὁ, τὸ ἐξισάζειν, Σιμπλίκ. εἰς Ἐπίκτ. 1. σ. 29.

ἐξίσης, Ἐπίρρ. ἀντὶ ἐξ ἴσης (ἐξυπ. **μοίρας**) καὶ **ἐξίσου** ἀντὶ ἐξ ἴσου (ἐξυπ. **μέτρου**). Ἀμφότερα γραπτέα διῃρημένως.

ἐξισόω, καθιστῶ ἢ ἀποδεικνύω τινὰ ἤ τι ἴσον πρός τι, Λατ. exaequare, ἅ σ' ἐξισώσει .. τοῖς σοῖς τέκνοις Σοφ. Ο. Τ. 425· μηδ' ἐξισώσῃς τάσδε τοῖς ἐμοῖς κακοῖς, αὐτόθι 1507· ἐξ. τοῖς ἐγκλήμασι τὸ πρᾶγμα Ἀντιφῶν 126. 3, Θουκ. 5. 71· κἀξισώσαντε ζυγὰ (αἱ πῶλοι) ἠλαυνέτην Σοφ. Ἠλ. 738· Μέσ., προσπαθῶ νὰ καταστήσω ἐμαυτὸν ἴσον τινὶ κατά τι, δράκοντι μῆκος ἐξισουμένην σαύραν Βαβρ. 41. 2: — Παθ., εἶμαι ἢ γίνομαι ἴσος, τινι Ἡρόδ. 2. 34., 6. 111, Πλάτ. κλ.· γίνομαι ἴσος, καταντῶ εἰς τὴν αὐτὴν κατάστασιν εἰς ἣν εὑρίσκεται καὶ ἄλλο τι, ὅκως ἂν ἐξισωθείη τῷ Ἑλληνικῷ τὸ Περσικὸν Ἡρόδ. 8. 13· εἶμαι ἰσόπαλος, ἀντίπαλος, ἀνταγωνιστὴς πρός τινα, ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι Θουκ. 2. 97· πρός τινα Πλουτ. Ἀγησ. 7. **2**) καθιστῶ πάντας ἴσους, ἐξισῶσαι τοὺς πολίτας Ἀριστοφ. Βάτρ. 688, πρβλ. Ἰσοκρ. 59B. **II**. ἀμεταβ., εἶμαι ἴσος ἢ ὅμοιος, μητρὶ δ' οὐδὲν ἐξισοῖ, οὐδόλως φέρεται ἢ πράττει ὡς μήτηρ, Σοφ. Ἠλ. 1194· ἐξ. τοῖς ἄλλοις Θουκ. 6. 87 (πρβλ. **δηλόω** II): οὕτως ἐν τῷ παθ., Σοφ. Ἠλ. 1073.

ἐξιστάνω, μεταγεν. τύπος τοῦ **ἐξίστημι**, Ἑβδ. (Γ' Μακκ. Α', 25), Πράξ. Ἀποστ. η', 9, Διοσκ. 4. 74.

ἐξίστημι. A. Μεταβατικὸν ἐν τῷ ἐνεστ., παρατ., μέλλ. καὶ ἀόρ. α':— ἐξάγω τῆς οἰκείας θέσεως, μεταβάλλω ἢ ἀλλοιῶ ὁλοκλήρως, τὴν φύσιν Τίμ. Λοκρ. 100C, Ἀριστ. Ἠθ. Ν. 3. 12, 2, Ρητ. 3. 2, 3, κ. ἀλλ.· τὴν πολιτείαν Πλουτ. Κικ. 10· ἐξ. τῆς ποιότητος τὸν οἶνον ὁ αὐτὸς 2. 702A. **2**) μεταφ., ἐξιστάναι τινὰ φρενῶν, κάμνω τινὰ νὰ παραφρονήσῃ, Εὐρ. Βάκχ. 850· τοῦ φρονεῖν Ξεν. Ἀπομν. 1. 3, 12· ταῦτα κινεῖ, ταῦτ' ἐξίστησιν ἀνθρώπους αὐτῶν Δημ. 537, ἐν τέλει· ἀπολ., ἐξίστημί τινα, κάμνω τινὰ νὰ χάσῃ τὰ λογικά του, ἐκπλήττω, ἐκθαμβῶ, Ἱππ. 188D· οἶνος ἐξέστησέ με Εὐρ. Ἀποσπ. 267· ἐξίστησι, περισπᾷ τὴν προσοχήν, Ἀριστ. Ρητ. 3. 8, 1· οὕτω, τὸν λογισμόν, τὴν διάνοιαν Πλουτ. Σόλ. 21, Κράσσ. 23.—ὡσαύτως, ἐξ. τινὰ τῶν λογισμῶν ὁ αὐτὸς ἐν βίῳ Φαβ. 5· εἰς ἀπάθειαν ἐξ. τὴν ψυχὴν ὁ αὐτὸς ἐν βίῳ Ποπλ. 6.

B. ἀμετάβ. ἐν τῷ Παθ. καὶ Μέσ. μετ' ἀόρ. β', πρκμ. καὶ ὑπερσ. ἐνεργ. **1**) ἐπὶ τόπου, ἀποσύρομαι ἔκ τινος μέρους, ἐκστάντες τῆς ὁδοῦ Ἡρόδ. 3. 76· ἐκ τοῦ μέσου Ξεν. Ἀν. 1. 5, 14· ἐκ τῆς ὁδοῦ ἐκστ. τινι, ἀποσύρεσθαι ἐκ τῆς ὁδοῦ χάριν τινός, ὁ αὐτὸς Συμπ. 4, 31· οὕτως, ἐκστῆναί τινι Σοφ. Φιλ. 1053, Αἴ. 672, Ἀριστοφ. Βάτρ. 354, κτλ.· ἀπολ., ἐπὶ τῆς αὐτῆς ἐννοίας, Εὐρ. Ι. Τ. 1229, Ἀριστοφ. Ἀχ. 617, κτλ.·— μεταφ., ἀλλ' ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ' ὅδε, ἐξῆλθεν ἐκ τῆς θέσεώς του, Εὐρ. Βάκχ. 928· οὐδὲ μένει νοῦς .., ἀλλ' ἐξίσταται Σοφ. Ἀντιγ. 564. **2**) μετ' αἰτ., φυλάττομαι, ἀποφεύγω τινά, φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ ὁ αὐτὸς ἐν Αἴ. 82· οὐδένα ἐξίσταμαι Δημ. 331. 8, ἔνθα ἴδε Δινδ.· οὐδένα πώποτε κίνδυνον ἐξέστησαν ὁ αὐτὸς 460. 2. **3**) ἐξέρχομαι τοῦ ἁρμοῦ, ἐξίσταται τὸ ἰσχίον καὶ πάλιν ἐμπίπτει Ἱππ. Ἀφορ. 1258, πρβλ. π. Ἀγμ. 761. **II**. μετὰ γεν. πράγμ., ἀπομακρύνομαι, ἀποσύρομαι ἀπό τινος, παραιτοῦμαι ἀπὸ τῆς κατοχῆς τινος, τῆς ἀρχῆς Θουκ. 2. 63., 4. 28· ἐκστῆναι τῆς οὐσίας ἢ τῶν ὄντων, Λατ. cedere bonis, πτωχεύω, κάμνω πτώχευσιν, Ἀντιφῶν 117. 7, Δημ. 959. 28. **2**) παύομαι ἀπό τινος, ἐγκαταλείπω τι, ἐκστ. τῆς φιλίας, τῶν μαθητῶν Λυσ. 114. 2, Ξεν. Κύρ. 3. 3, 54· τῶν σπουδασμάτων Πλάτ. Φαῖδρ. 249D, κτλ.· τῶν πολιτικῶν Ἰσοκρ. 76D· τῆς ὑποθέσεως Δημ. 143. 13· τῶν πεπραγμένων, δηλ. ἐξαρνεῖσθαι αὐτά, ὁ αὐτὸς 363. 28· τῶν λογισμῶν Πολύβ. 32. 25, 8· ἐκστ. τινος εἴς τι Πλάτ. Νόμοι 907D· ὡσαύτως, τοῦ μέντοι ἄθλου ἐκστῆναι τῷ μετ' αὐτὸν κριθέντι, ὅτι ὅμως παρεχώρησε τὸ ἆθλον εἰς τὸν μετ' αὐτὸν κριθέντα νικητήν, Ἀθήν. 415E. **3**) ἐκστῆναι πατρός, καταλιπεῖν αὐτὸν παντελῶς, ἀπαρνηθῆναι αὐτόν, Ἀριστοφ. Σφ. 477· καρδίας ἐξίσταμαι, καταλείπω τὴν ἐπιθυμίαν τῆς καρδίας μου, Σοφ. Ἀντιγόν. 1105· ἰδίως, ἐξέστην φρενῶν, ἔχασα τὸν νοῦν μου, Εὐρ. Ὀρ. 1021, κτλ.· μὴ διὰ γῆρας ἐξεστηκὼς ὦ τοῦ φρονεῖν, μήπως ἕνεκα τοῦ γήρατος ἔχασα τὸν νοῦν μου, Ἰσοκρ. 85E· ἐξέστην ἐμαυτοῦ Αἰσχίν. π. Παραπρ. 2. 2, 3, κτλ.· — ἀκολούθως ἀπολ., γίνομαι ἔξω ἐμαυτοῦ, ἔξω φρενῶν, παραφρονῶ, Ἱππ. Προρρ. 68· ἐξέστην ἰδὼν Φιλιππίδ. ἐν Ἀδήλ. 5· ἐξ. ὑπὸ γήρως Κωμ. Ἀνών. 311β· ἐξίστασθαι καὶ μαίνεσθαι πρός τι Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6. 22, ἐν τέλει·— ἐκπλήττομαι, θαυμάζω, Εὐαγγ. κ. Ματθ. ιβ', 23, κ. Μάρκ. β', 12, κτλ., πρβλ. **ἔκστασις**. **4**) ἐκστῆναι τῆς αὐτοῦ ἰδέας, ἀπομακρύνεσθαι, ἐκπίπτειν τῆς ἰδίας φύσεως, Πλάτ. Πολ. 380D· ἐκ τῆς ἑαυτοῦ φύσεως Ἀριστ. π. τὰ Ζ. Ἱστ. 1. 1, 32· δημοκρατία ἐξεστηκυῖα τῆς βελτίστης τάξεως ὁ αὐτὸς ἐν Πολιτικ. 5. 9, 8· αἱ δημοκρατίαι ἐξίστανται εἰς τὰς ἐναντίας πολιτείας, μεταπίπτουσιν εἰς τὰς .., αὐτόθι 5. 6, 18, πρβλ. Ρητ. 2. 15, 3: — ἀπολ., τὸ δὲ σισύμβριον .. καὶ ἐξίσταται μὴ μεταφυτευόμενον Θεόφρ. π. Φυτ. Ἱστ. 6, 7. 6· χυμὸς ἐξιστάμενος, μεταβάλλων τὰς φυσικὰς αὐτοῦ ἰδιότητας, Ἱππ. π. Ἀρχ. Ἰητρ. 18· οἶνος ἐξεστηκώς, ὅστις ἐχάλασεν, ἔγεινε 'ξινός, Δημ. 933. 25· ἐκ πολλῶν δὲ δυσθύμων καὶ ἐξεστηκότων προσώπων, πεφοβημένων, «τρομαγμένων», Ξεν. Κύρ. 5. 2, 34. **5**) μεταβάλλω τὴν γνώμην μου, ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ ἐξίσταμαι Θουκ. 2. 61· ἀντίθετον τῷ ἐμμένειν τῇ δόξῃ, Ἀριστ. Ἠθ. Ν. 7. 9, 2· ἐπὶ γλώσσης, ἀπέχω τῆς κοινῆς χρήσεως, διαφέρω, ὑπερέχω, πλέον γὰρ ἐξέστηκε ὁ αὐτὸς Ρητ. 3. 2, 3. **III**. ἐξέχω, προέχω, **ἐξεστηκός**, κυρτόν, κατ' ἀντίθ. πρὸς τὸ **κοῖλον**, ὁ αὐτὸς π. τὰ Ζ. Ἱστ. 1. 14, 1.

ἐξιστορέω, ἐξερευνῶ, μανθάνω, βεβαιοῦμαι, θέλων ἐξιστορῆσαι μοῖραν Αἰσχύλ. Θήβ. 506, Χο. 678, Εὐρ. Ἑκ. 744. **2**) ἀνακρίνω τινὰ καὶ μανθάνω περί τινος, τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι .., ἀποπέμπουσι Ἡρόδ. 7. 195. Εὐρ. Ἑκ. 236· ἐξ. τινα εἰ .. ὁ αὐτὸς ἐν Ὀρ. 289: ῥηματ. ἐπίθ. **ἐξιστορητέον**, δεῖ ἐξιστορεῖν, Κλήμ. Ἀλ. 564.

ἐξιστουργέω = **ἱστουργέω**, Ἰσίδ. Θεσσαλ. σ. 109, ἔκδ. Μί.

ἐξίσχιος, ον, ἔχων τὰ ἰσχία ἐξέχοντα, Ἱππ. π. Ἄρθρ. 824· πρβλ. **ἐξόφθαλμος**.

ἐξισχναίνω, ἐπιτεταμένον ἀντὶ τοῦ **ἰσχναίνω**, Θεμίστ. 10B.

ἐξισχνόομαι, καθίσταμαι ἐντελῶς ἰσχνός, οἱ μαζοὶ ἐξισχνοῦνται Ἱππ. 601. 27.

ἐξίσχνωσις, **εως**, ἡ, ἐντελὴς ἴσχνανσις, Στέφ. π. Χρυσοπ. ἐν Idel. phys. etc. II. σ. 204.

ἐξισχύω [ῡ]: μέλλ. -**ύσω**, ἔχω ἱκανὴν ἰσχύν, ἔχω τὴν δύναμιν νά, ὥστε ποιεῖν Στράβων 788· μετ' ἀπαρ. μόνον, Ἐπιστ. π. Ἐφεσ. γ', 18. **II**. κατὰ σπανίαν χρῆσιν, ἢ παρὰ χρῆμα ἐκτρῖβον (τὸ δαιμόνιον) τοὺς τυράννους .. ἢ παίδων ἐξισχῦον Αἰλ. Ποικ. Ἱστ. 6. 13· «ὁ μὲν νοῦς πρόδηλος, ἢ παραυτίκα τοὺς τυράννους ἐξολοθρεῦον πρὶν ἢ πατέρας γενέσθαι ἢ γενομένων τοὺς παῖδας ἀπολλύον», κτλ., Κοραῆς· πρβλ. Πλουτ. 2. 801E.

ἐξίσχω = **ἐξέχω**, ἅπαξ παρ' Ὁμ., ἔξω δ' ἐξίσχει κεφαλὰς δεινοῖο βερέθρου, προσβάλλει, ἐξάγει .., Ὀδ. Μ. 94. **II**. ἀμεταβ., ἐξέχω, Παυσ. 5. 12, 1· ἐξίσχοντες ὀφθαλμοί, προέχοντες, Ἱππ. Προγν. 37.

ἐξίσωσις, **εως**, ἡ, τὸ καθιστᾶν τι ἴσον πρὸς ἄλλο, Συλλ. Ἐπιγρ. 3546. 18, Πλουτ. Σόλων 18, κλ. **2**) ὁ κατ' ἀναλογίαν προσδιορισμός, ἐκτίμησις, Βασίλ. IV. 324A, Ἰουστινι. Κῶδ. 1. 4, 26, § α'.

ἐξῐσωτέον, ῥημ. ἐπίθ. τοῦ **ἐξισόω**, δεῖ ἐξισοῦν, εἰ καὶ τυραννεῖς, ἐξισωτέον τὸ γοῦν ἴσ' ἀντιλέξαι Σοφ. Ο. Τ. 408.

ἐξῐσωτής, **οῦ**, ἄρχων τις (ἐπὶ τῶν αὐτοκρατορικῶν χρόνων), ὅστις ὥριζε κατ' ἀναλογίαν τοὺς φόρους οὓς ὤφειλον νὰ καταβάλλωσιν οἱ φορολογούμενοι, Ψευδο-Λουκ. Φιλόπατρ. 19, καὶ παρ' ἄλλοις μεταγ. συγγραφ., μνημονευομένοις ὑπὸ τοῦ Δουκαγγίου.

ἐξιτηλία, ἡ, «μωρία» Ἡσύχ.

ἐξίτηλος [ῐ], **ον**, (ἐξιέναι) ὁ ἀποβαλὼν τὸ χρῶμά του, «ξεθωριασμένος», πορφυρίδας ἐξιτήλους Ξεν. Οἰκ. 10. 3· ἐπὶ ζωγραφημάτων, γραφαὶ δὲ ἐπὶ τῶν τοίχων ἐξίτηλοι .. ἦσαν ὑπὸ τοῦ χρόνου Παυσ. 10. 38, 9, πρβλ. Πολυδ. Δ', 44· γράμματα Πολυδ. Ε', 150. **2**) μεταφ., ἐξ. τροφή, τροφὴ ἀπολέσασα τὴν θρεπτικὴν αὐτῆς δύναμιν, Ἱππ. 380. 46· οὕτω καὶ ἐπὶ σπέρματος σπαρέντος εἰς ἀλλοτρίαν γῆν, Πλάτ. Πολ. 497B· ἐπὶ οἴνου ἀπολέσαντος τὴν δύναμιν αὐτοῦ, «'ξεθυμασμένος», Διοσκ. 5. 13· ἐξ. γενέσθαι, ἐπὶ οἰκογενείας, μὴ ὑπάρχειν πλέον, ἐκλιπεῖν, Ἡρόδ. 5. 39· κοὔπω σφιν ἐξίτηλον αἷμα δαιμόνων, οὔπω ἐξέλιπεν, Αἰσχύλ. Ἀποσπ. 155, πρβλ. Πλάτ. Κριτί. 121A· ἐξ. εἶναι, ἐπὶ προσώπου, ἐκπίπτειν, Ἱππ. 28. 5· ἐπὶ πράξεων, «λησμονημένος», τῷ χρόνῳ ἐξίτηλα Ἡρόδ. 1. 1, πρβλ. Ἰσοκρ. 94B· ἐξ. ποιεῖν, ἐξαλείφειν, καταστρέφειν, Διοσκ. 2. 94. Καθ' Ἡσύχ. «ἐξίτηλον· ἐξώλες, ἀμαυρόν. ἢ τὸ ἀπολλύμενον· παρὰ τὸ ἐξιέναι, ὅ ἐστιν ἐξελθεῖν. ἢ ἀνόητον. ἐξίτηλος· ὁ ὑπερήφανος. βλάξ. διεφθαρμένος».

ἐξιτήριος, **ον**, ἐξιτήριος λόγος, ἀποχαιρετιστικός, Γρηγ. Ναζ. II. 529A, 600C, Στουδ. 892C. **2**) ὡς οὐσ., τὸ **ἐξιτήριον**, τὸ ἀποχαιρετιστήριον προσφώνημα, Γρηγ. Ναζ. III. 1024A. **3**) **ἐξιτήρια**, τά, «ἡμέρα, ἐν ᾗ τὰς ἀρχὰς ἀπετίθεντο Ἀθήνησιν» Ἡσύχ.

ἐξίτης [ῑ], **ου**, ὁ, (ἕξ) ὁ βόλος (ῥίψιμον) κύβου καθ' ὃν τυγχάνει ὁ ἀριθ. ἕξ, ὡσαύτως **κῷος**, Ἑλλην. Ἐπιγράμμ. 1038. 2, κτλ. (ἔνθα γράφεται **ἐξεῖτε**, δηλ. **ἐξῖται**), Πολυδ. Θ', 100.

ἐξῐτητέον, ῥηματ. ἐπίθ., δεῖ ἐξιέναι, Ξεν. Ἀπομν. 1. 1, 14.

ἐξιτητήρια, τά, = **ἐξιτήρια**, Ἐπιγρ. Ἀθηνῶν CIΑ. II. 481.

ἐξῐτητός, όν, = **ἐξιτός**, Ἀλκίφρ. 3. 30.

ἐξῐτός, ή, όν, ῥηματ. ἐπίθ. τοῦ **ἔξειμι** (εἶμι) ὁ δυνάμενος νὰ ἐξέλθῃ, τοῖς οὐκ ἐξιτόν ἐστι, οἷς οὐκ ἔστιν ἔξοδος, οὐκ ἔστι δυνατὸν ἐξελθεῖν, Ἡσ. Θ. 732.

ἐξιχνέομαι, = **ἐξιχνεύω**, Φίλων I. 256. 40.

ἐξίχνευσις, εως, ἡ, τὸ ἐξιχνεύειν, ἀνίχνευσις, Γεωπ. 2. 6, 22.

ἐξιχνευτέον, ῥημ. ἐπίθ. τοῦ **ἐξιχνεύω**, δεῖ ἐξιχνεύειν, Λουκ. Δραπέτ. 26.

ἐξιχνευτής, οῦ, ὁ, ὁ ἐξιχνεύων, Γλωσσ.

ἐξιχνεύω, ἀνιχνεύω, εὑρίσκω, πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι Αἰσχύλ. Ἀγ. 368· ἐξιχνεύσατε τὸν .. ξένον Εὐρ. Βάκχ. 352, 817.

ἐξιχνιάζω, = **ἐξιχνεύω**, Ἑβδ. (Ἰὼβ Ε', 27., Ι', 6, κ. ἀλλ.).

ἐξιχνιασμός, ὁ, (Ἰουδὶθ Ε', 16, διάφ. γραφ.)

ἐξιχνοσκοπέω, ἀναζητῶ ἀκολουθῶν τὰ ἴχνη τινός, ἵππους νομάδας ἐξιχνοσκοπῶν Σοφ. Τρ. 271· οὕτως ἐν τῷ μέσῳ τύπῳ, τὸν σὸν ὡς ἐπῃσθόμην μόρον διήκων κἀξιχνοσκοπούμενος, «κατ' ἴχνος ἀκολουθῶν» (Σχόλ.), ὁ αὐτὸς ἐν Αἴ. 977.

ἐξῑχωρίζω, (ἰχὼρ) «ἐξιχωρίζεσθαι, ἐκπιέζεσθαι, τὸν ἰχῶρα ἐκβάλλειν· καὶ οἷον εἰς γάρον ἐξιχωρίζεσθαι» Σουΐδ.· πρβλ. **ταριχεύειν** παρὰ τῷ αὐτῷ.

ἑξκαίδεκα, **ἑξκαιδέκατος**, = **ἑκκαίδεκα**, **ἑκκαιδέκατος**, ἴδε Λοβ. ἐν Φρυν. 413.

ἑξκαιδεκάεδρον, τό, ἔχον ἑξκαίδεκα ἕδρας, Πτολ. καρπ. σ. 58, ἔκδ. Νορεμβέργης τοῦ 1535.

ἑξκαιδεκαετηρίς, ίδος, ἡ, περίοδος 16 ἐτῶν, Γεμῖνος 809B.

ἑξκαιδεκαπρόφητον, τό, οἱ ἑξκαίδεκα προφῆται, ἤτοι τὸ σύνολον τῶν βιβλίων αὐτῶν, Εὐθ. Ζυγαβ. ἐν Ἑλλ. Πατρολ. Ml. τ. 130, σ. 1292.

ἑξ-και-πεντηκοντα-πλάσιος, ον, πεντήκοντα ἓξ φορὰς μεγαλείτερος, Πλούτ. 2. 925C.

ἑξ-κλῑνος, ον, = **ἑξάκλινος**, Ἐτυμ. Μ. 346. 14.

ἐξμάρτυρος συγγραφή, Πάπυρ. Αἰγυπτ. ἐν Λουγδούνῳ CIG. III. σ. 294.

ἑξ-μέδιμνος, ον, χωρῶν ἓξ μεδίμνους, Ἀριστοφ. Εἰρ. 631.

ἔξμετρα, «ἑξάμετρα» Ἡσύχ.

ἐξογκέω, (ὄγκος) σχηματίζω ὄγκον, ἐξογκοῦμαι, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει Ἱππ. π. Ἄρθρ. 787.

ἐξογκόω, κάμνω τι ὀγκῶδες, φουσκώνω, ὑψώνω, Ἱππ. π. Ἄρθρ. 791· μεταφ., ἐν ᾗ (ἡμέρᾳ) τάλαιναν μητέρ' ἐξώγκουν τάφῳ, «ἔθαπτον» (Ἡσύχ.), Εὐρ. Ὀρ. 402, πρβλ. τὴν ἑπομ. λέξιν.—Παθ., γίνομαι ὀγκώδης, ἐξογκοῦμαι, πάντα ἐξώγκωτο, περὶ τοῦ Ἀλκμέωνος, ὅστις ὠφελούμενος ἐκ τῆς δωρεᾶς τοῦ Κροίσου ἔλαβεν ἐκ τοῦ θησαυροῦ αὐτοῦ ὅσον χρυσὸν ἠδυνήθη νὰ σηκώσῃ ἐπάνω του, πληρώσας ἐξ αὐτοῦ τοὺς κόλπους τῶν ἱματίων του καὶ τοὺς μεγάλους κοθόρνους οὓς ἐπίτηδες ἐφόρεσεν, Ἡρόδ. 6. 125· τραπέζαις ἐξογκοῦσθαι, ὑπερπληροῦσθαι, ἐσθίειν ὑπὲρ τὸ δέον, Εὐρ. Ἱκ. 864· μεταφ., «φουσκώνω», ὑπερηφανεύομαι, πάτρῃ ἐξωγκωμένοι Ἡρόδ. 6. 126· σὺ σός τ' ἀδελφὸς ἐξωγκωμένος Εὐρ. Ἀνδρ. 703· μετρίως τε χαίρειν τοῖσιν ἐξωγκωμένοις, ἐν ταῖς μεγάλαις εὐτυχίαις, ὁ αὐτ. Ι. Α. 921· οὕτω καὶ κατὰ μέσ. μέλλ., ὁ αὐτὸς ἐν Ἱππ. 938, πρβλ. Ἀθήν. 920A.

ἐξογκῡλόω, μεγαλύνω, ἐξαίρω, οἱ φιλόσοφον τέχνην ἐξογκυλοῦντες Τζέτζ. Ἱστ. 11. 711.

ἐξόγκωμα, τό, πᾶν ὑψούμενον ἢ ἐξογκούμενον πρᾶγμα, λαΐνοισί τ' ἐξογκώμασι, λιθίνοις οἰκοδομήμασι, δηλ. βωμοῖς, ναοῖς, κλ., Εὐρ. Ἡρ. Μαιν. 1332.

ἐξόγκωσις, εως, ἡ, ὕψωμα, «τὸ δὲ ὄρογκος .. δηλοῖ τὴν τοῦ ὄρους ἐξόγκωσιν καὶ ἀνάτασιν» Εὐστ. εἰς Διον. Περιηγ. 285.

ἐξοδάω, πωλῶ, μή τά σ' ἐξοδᾶν ἐγὼ ξένοισι χρήματ' Εὐρ. Κύκλ. 267· πρβλ. **ἔξοδος** IV. Καθ' Ἡσύχ. «ἐξοδῆσαι· ἐξοδεῦσαι».

ἐξοδεία, ἡ, = **ἐξοδία**, Στράβ. 249. **II.** ἐξοδεία τῶν νεῶν, πομπὴ ἐκ τῶν ναῶν, Ἐπιγρ. Μαρμάρου Ροζέτης ἐν τῇ Συλλ. Ἐπιγρ. 4697. 42.

ἐξοδεύω, ὁδεύω ἔξω, ἐξέρχομαι καὶ μεταβαίνω πού, Πολύβ. 5. 94, 7, Διόδ. 19. 63, κτλ. **II.** ἐξέρχομαι ἐν πομπῇ, Ἐπιγρ. Μαρμάρου Ροζέτης ἐν τῇ Συλλ. Ἐπιγρ. 4697. 43. **III.** ἀπέρχομαι ἐκ τοῦ βίου, ἀποθνήσκω, Ἑβδ. (Ἰουδὶθ Ε', 27), ἐν τῷ Παθ.

ἐξοδία, Ἰων. -ίη, ἡ, ἔξοδος, ἐξόρμησις, ἐκστρατεία, Ἡρόδ. 6. 56, Πολύβ. 4. 54, 3.

ἐξοδιάζω, διασκορπίζω, Νικολ. Δαμ. παρὰ Στοβ. 614. 22. **2)** ἀποτίνω, πληρώνω, τὰ ἀναλώματα τῶν τέκνων ἐξοδιασάντων Ἐπιγρ. Λακων. ἐν τῇ Συλλ. Ἐπιγρ. 1391· ἀπολ., Ἐπιγρ. Θηρ. αὐτόθι 2448. 26· πρβλ. Ahrens π. Δωρ. σ. 65· πρβλ. **ἔξοδος** IV. **3)** ἀναλίσκω, δαπανῶ, ἐξοδιάζω ὡς καὶ νῦν λέγομεν, ἐν τῷ Παθ., εἰς πάντα ὅσα ἐξωδιάσθη ἐπὶ τὸν οἶκον Ἑβδ. (Δ' Βασιλ. ΙΒ', 12).

ἐξοδιασμός, ὁ, = **ἐξοδία**, Πολύβ. 23. 6, 1. **II.** δαπάνη, ἔξοδον, Ἀρτεμίδ. 1. 59 —ὡσαύτως **ἐξοδίασις**, Θεοδώρ. 2. 13, σ. 609.

ἐξοδιακός, ή, όν, ἀνήκων εἰς τὴν ταφήν, ἐξοδιακὸς κράβατος, φέρετρον, Ἕκτη Οἰκ. Σύνοδ. 1032D.

ἐξοδιαστικόν, τό, νεκρώσιμος ἀκολουθία, Εὐχολόγ. σ. 419 καὶ 420.

ἐξοδικός, ή, όν, ἀνήκων εἰς τὴν ἔξοδον, **τὰ ἐξοδικὰ** = **ἐξόδια**, Σχόλ. εἰς Ἀριστοφ. Σφ. 270. — Ἐπίρρ. **-κῶς**, διεξοδικῶς, Διογ. Λ. 9. 64.

ἐξόδιος, ον, (ἔξοδος) ἀνήκων εἰς ἔξοδον, ἐξ. νόμοι, «αὐλήματα δι' ὧν ἐξῄεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί» Σουΐδ.· τοὺς ἐξοδίους ὑμῖν ἵν' αὐλῶ τοὺς νόμους Κρατῖνος ἐν Ἀδήλ. 17, ἔνθα ἴδε τὸν Meineke: ἐντεῦθεν, **II.** ὡς οὐσιαστ., **ἐξόδιον** (ἐξυπ. μέλος), «καὶ μέλος δέ τι ἐξόδιον, ὃ ἐξιόντες ᾖδον» Πολυδ. Δ' 108· τέλος τοῦ δράματος, τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην (τὴν Διονυσίου ταφὴν) Φίλιστος παρὰ Πλουτ. ἐν βίῳ Πελοπ. 34, πρβλ. τὸν αὐτ. ἐν βίῳ Ἀλεξ. 75, ἴδε δὲ καὶ σημ. Κοραῆ ἐν Ἡλιοδ. Αἰθ. τ. Β. σ. 367 ἐν τέλει· μεταφ. τέλος, καταστροφὴ τραγικοῦ δράματος, τραγικὸν τέλος, Πλουτ. Κράσσ. 33. **2)** ἐν Ῥώμῃ **ἐξόδια** (exodia) ἦσαν κωμικαὶ παραστάσεις κυρίως μετὰ τὸ δρᾶμα, μετὰ παρῳδιῶν ἐπὶ τῆς ὑποθέσεως τοῦ δράματος, Λίβ. 7. 2, 11, Ἰουβενάλ. 3. 175. **3)** παρ' Ἰουδαίοις, ἑορτὴ εἰς ἀνάμνησιν τῆς ἐξόδου, Ἑβδ. (Λευ. ΚΓ', 36, κ. ἀλλ.) **4)** θάνατος, Γρηγόρ. Ναζ. II. 373B. **5)** ἐκφορὰ νεκροῦ, Κλήμ. 1065D, Ἀναστ. Σιν. 504B, κλ.

ἐξοδοιπορέω, ἐξέρχομαι, ἐκβαίνω, ἐξοδοιπορεῖν στέγης Σοφ. Ἠλ. 20.

ἔξοδος, ἡ, τὸ ἐξέρχεσθαι, ἐν ἀντιθέσει πρὸς τὸ **εἴσοδος**, Σοφ. Αἴ. 798, 806, κτλ.· ἐκ τῆς χώρης Ἡρόδ. 1. 94· ἔστι .. λήθη μνήμης ἐξ. Πλάτ. Φίλ. 33E· ἐπιστήμης ἐξ. ὁ αὐτ. Συμπ. 208E. **2)** στρατιωτικὴ ἔξοδος ἢ ἐκστρατεία, ἐξ. ποιεῖσθαι Ἡρόδ. 9. 19, 26, Θουκ. 3. 5, κτλ., πρβλ. Ἀριστοφ. Νεφ. 579· τὴν ἐπὶ θανάτῳ ἐξ. ποιεῖσθαι, ἐπὶ τοῦ Λεωνίδου, Ἡρόδ. 7. 223· ἐξ. ἐξελθεῖν Ξεν. Ἑλλην. 1. 2, 17· ἐξόδους ἕρπειν κενὰς Σοφ. Αἴ. 287· τὴν ἐπ' Ὠρεὸν ἔξοδον Δημ. 252. 4· ἔξοδοι πεζαὶ ὁ αὐτὸς 259. 20: ὡσαύτως, ἐπίθεσις ἐκ μέρους πολιορκουμένων, ἔξοδος, Θουκ. 5. 10. **3)** μετὰ πομπῆς ἔξοδος, Ἡρόδ. 3. 14· ἰδίως γυναικῶν ὑψηλῆς τάξεως μετὰ τῆς ἀκολουθίας αὐτῶν, Πλάτ. Νόμοι 784D, Θεοφράστ. Χαρακ. 22· ἐξόδους λαμπρὰς ἐξιοῦσαν Δημ. 1182. 27· ἐτέθη δὲ καὶ νόμος ὑπὸ τοῦ Σόλωνος πρὸς διακανόνισιν τῶν τοιούτων ἐξόδων, Πλουτ. Σόλ. 21: πρβλ. **ἐξοδεύω**. **II.** μέρος δι' οὗ ἐξέρχεταί τις, ἔξοδος, Λατ. exitus, Ἡρόδ. 2. 148· πυλῶν ἐπ' ἐξόδους Αἰσχύλ. Θήβ. 33, πρβλ. 58, 284· πρὸς θυρῶνος ἐξόδοις Σοφ. Ἠλ. 328· ἐπὶ ποταμοῦ, ἔξοδος εἰς θάλασσαν Ἡρόδ. 7. 130· ἡ Ἀρκαδία οὐκ ἔχει ἐξόδους τοῖς ὕδασιν Ἀριστ. Προβλ. 26. 58. **2)** τρόπος ὅπως διέλθῃ τις ἔκ τινος δυσκολίας, διέξοδος, φέρε δή, ἦν δ' ἐγώ, ἐάν πῃ εὕρωμεν τὴν ἔξοδον Πλάτ. Πολ. 453E· ἀλλ' ἡ ἐξ. τῶν λόγων, τὸ ἀποτέλεσμα, ἡ ἔκβασις ἐρεύνης, ὁ αὐτὸς Πρωτ. 361A. **3)** τὰ μέρη δι' ὧν ἐξέρχονται ἐκ τοῦ σώματος τὰ περιττώματα εἴτε ξηρὰ εἴτε ὑγρά, ὁ πρωκτὸς καὶ τὰ γεννητικὰ μόρια, Ἀριστ. π. Ζ. Μορ. 3. 14, 20., 4. 12, 16· τῆς τροφῆς ὁ αὐτὸς π. τὰ Ζ. Ἱστ. 2, 17, 7· καὶ ἀπολ., αὐτόθι 4. 7, 11, κ. ἀλλ.· οὕτως ἐπὶ ἄλλων ἐξόδων ἐν τῷ σώματι, αὐτόθι 7. 8, 3. κ. ἀλλ. **III.** ὡσαύτως, ὡς τὸ Λατ. exitus, πέρας, τέλος, ἐπ' ἐξόδῳ εἶναι Θουκ. 5. 14· ἐπ' ἐξόδῳ τῆς ἀρχῆς Ξεν. Ἑλλην. 5. 4, 4· ἐπ' ἐξόδῳ (κοινῶς -ου) τοῦ ζῆν Ἰωσήπου Ἰουδ. Ἀρχ. 4. 8, 2· ἀπολ., ἔξοδος ἐκ τοῦ κόσμου τούτου, θάνατος, Εὐαγγ. κ. Λουκ. Θ'. 31, Ἐπιστ. Β', Πέτρ, α', 15· —ἐκφορὰ νεκροῦ, = **ἐξόδιον**, Ἀποστ. Διαταγ. 5. 30. **2)** τὸ τέλος ἢ τὸ συμπέρασμα συλλογισμοῦ τινος ἢ ἐπιχειρήματος, Πλάτ. Πρωτ. 316A. **3)** ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος Ἀριστ. Ποιητ. 12, πρβλ. **πάροδος**· ἔξοδον αὐλεῖν, προπέμπειν μετὰ τοῦ αὐλοῦ, «ἔθος δὲ ἦν ταῖς ἐξόδοις τῶν τῆς τραγῳδίας χορικῶν προσώπων προηγεῖσθαι αὐλητήν, ὥστε αὐλοῦντα προπέμπειν» (Σχόλ.), Ἀριστοφ. Σφ. 582 (580). **IV.** δαπάνη, ἔξοδον, Πολύβ. 6. 13, 2· πρβλ. **ἐξοδάω**, **ἐξοδιάζω**. **V.** **Ἔξοδος**, τὸ β' βιβλίον τῆς Πεντατεύχου, ὡς περιέχον τὴν ἔξοδον τῶν Ἑβραίων ἐξ Αἰγύπτου.

ἐξοδῡνάω, ἐπιτεταμένον ἀντὶ τοῦ **ὀδυνάω**, Εὐρ. Κύκλ. 661, ἐν τῷ Παθ.

ἐξόζω, ἀμεταβ., ὄζω, ἐκπέμπω ὀσμήν τινα, κακὸν ἐξόσδεις, (Δωρ.), βρωμᾷς, Θεόκρ. 20. 10. **II.** μετὰ γεν., ἔχω τὴν ὀσμήν τινος, πυρούμενον δὲ ἐξόζει σησάμου Θεόφρ. π. Ὀσμ. 20.

ἐξόθεν, Ἐπίρρ. ἀντὶ ἐξ οὗ (ἐξυπ. χρόνου), ἀφ' ὅτου, Νικ. Θηρ. 318. **II.** **ἔξοθεν**, = **ἔξωθεν** πρβλ. (**ἔνδοθεν**), Στησίχ. ἐν Α. Β. 945 (79 Bgk).

ἔξοι (οὐχὶ **ἐξοῖ**), Δωρ. ἀντὶ ἔξω, πρβλ. **ἐνδοῖ**, ὃ καθ' Ἡρῳδιαν. γραπτέον **ἔνδοι**, Εὐστ. Ἰλ. 140. 15.

ἐξοίγνυμι καὶ **ἐξοίγω**, ἀνοίγω, χαράττω, τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα ἐξοίγειν μαχαιρίῳ Ἱππ. 417. 35, πρβλ. Ἕρμιππ. ἐν «Θεοῖς» 3.

ἔξοιδα, -οισθα, πρκμ. μετὰ σημ. ἐνεστ.: ὑπερσ. ἐξῄδη ὡς παρατ. Σοφ. Ἀντ. 460, β' ἑνικ. -ήδησθα ὁ αὐτὸς Τρ. 898 (Cobet):

(ἴδε *εἴδω): — οἶδα, γινώσκω καλῶς, ἐπεὶ οὔτι θεῶν ἐκ θέσφατα ἤδη Ἰλ. Ε. 64, οὕτω καὶ Σοφ., Εὐρ. καὶ μεταγεν. πεζογράφοι· μετὰ μετοχ. συμφωνούσης πρὸς τὸ ὑποκ., ἐξοιδ' ἔχουσα Σοφ. Τρ. 5· ἐξ. ἀνὴρ ὢν ὁ αὐτὸς Ο. Κ. 567· πρὸς τὸ ἀντικείμενον, ἐξ. σε οὐ ψιλὸν ἥκοντα αὐτόθι 1028, πρβλ. Φιλοκ. 79, 407· ὑφ' ἡμῶν οὐδὲν ἐξειδώς, οὐδὲν μαθών, ὁ αὐτὸς Οἰδ. Τ. 37· μετὰ γεν., ὧν γ' ἂν ἐξειδὼς κυρῶ, ὡς εἰ ἦν ἐπίθ., ὁ αὐτὸς Τρ. 299· ἀπολ., ὁ αὐτὸς ἐν Ἠλ. 222, κλ.

ἐξοιδαίνω = τῷ ἑπομ., Ἀρετ. Ὀξ. Νούσ. Θεραπευτ. 1. 1.

ἐξοιδέω, πρήσκομαι, φουσκώνω, πληγαῖς πρόσωπον .. ἐξῳδηκότα Εὐρ. Κύκλ. 227· νεκρὸς ἐξῳδηκὼς Λουκ. Νεκρ. Διάλ. 14. 5: — μεταφ., ἐξογκοῦμαι πλέον τοῦ προσήκοντος, ὑψηλοφρονῶ, Πολύβ. 6. 18, 7.

ἐξοίδησις, ἡ, πρήξιμον, Ἀστέριος 233C.

ἐξοιδίσκομαι, παθ. = ἐξοιδέω. Ἱππ. 482. 5.

ἐξοικειόω, καθιστῶ τι οἰκεῖον, μένε οὖν, μέχρι ἐξοικειώσῃς σαυτῷ καὶ ταῦτα Μ. Ἀντ. 10, 31: οὕτως ἐν τῷ Μέσῳ τύπῳ, Στράβων 184, 250. || Μέσ., ἐξοικειοῦμαι, καθιστῶ ἐμαυτὸν οἰκεῖον πρὸς τὰ ἤθη καὶ ἔθιμά τινος, συμμορφοῦμαί τινι, Ἀλέξανδρον ἐξοικειούμενον ἐκείνοις τοῖς ἔθνεσι Πλούτ. 2. 649E· γίνομαι φίλος, Στράβ. 250· οἰκειοποιοῦμαι, ὁ αὐτ. 184.

ἐξοικέω, μετοικῶ, μεταναστεύω, εἰς ὑπερορίαν Λυσ. 187. 29· Μεγαράδε Δημ. 845. 19. || Παθ., κατοικοῦμαι ἐντελῶς, τὸ Πελασγικὸν .. ὑπὸ τῆς παραχρῆμα ἀνάγκης ἐξῳκήθη Θουκ. 2. 17. — Πρβλ. Κόντον ἐν Ἀθηνᾶς τ. Δ', σ. 511-2.

ἐξοικήσιμος, ον, κατοικήσιμος, Σοφ. Ο. Κ. 27.

ἐξοίκησις, εως, ἡ, μετοίκησις, μετανάστευσις, Πλάτ. Νόμοι 704C, 850B.

ἐξοικία, ἡ, = τῷ προηγ., ἀμφίβ. γραφ. παρὰ Πολυαίνῳ 4. 2, 11· ἵνα τὰς τῶν Ἀλευαδῶν ἐξοικίας καθέλῃ, ἔνθα ὁ Κοραῆς διορθοῖ: ἵνα τοὺς ἐκ τῆς τῶν Ἀλευαδῶν οἰκίας καθέλῃ.

ἐξοικίζω· μέλλ. Ἀττ. -ιῶ, ἐκβάλλω τινὰ ἐκ τῆς ἰδίας αὐτοῦ οἰκίας, ἐκδιώκω, ἐξορίζω, Ἑστιαίας δὲ ἐξοικίσαντες, αὐτοὶ τὴν γῆν ἔσχον Θουκ. 1. 114., 7. 76· ἐξῴκησεν [με] γάμος οἴκων Εὐρ. Ἑκ. 949· εἰς ἄλλην χώραν Πλάτ. Νόμοι 928E, πρβλ. Πλουτ. Ρωμ. 24· ἐξ. χρυσὸν τῆς Σπάρτης Πλουτ. Ἀριστείδ. καὶ Κάτ. Σύγκρ. 3. — Παθ. καὶ Μέσ., ἀπέρχομαι τῆς πατρίδος μου, μετοικῶ, μετανάστεύω, φροῦδοι .. εἰσὶν ἐξῳκισμένοι Ἀριστοφ. Εἰρ. 197· ἐξῳκίσαντο αὐτόθι 203· καταλείπω οἰκίαν ἢ ἐργαστήριον, ἀντίθετον τῷ **εἰσοικίζομαι**, ἐὰν ὁ μὲν ἐξοικίσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰσοικίσηται Αἰσχίν. κ. Τιμάρχ. 1. 38, 5· ἐξ. ἐκ τόπου Πλουτ. Ἀγησ. 15. || ἐκκενῶ τόπον τινὰ ἐκ τῶν κατοίκων αὐτοῦ, Λῆμνον ἀρσένων ἐξῴκισαν Εὐρ. Ἑκ. 887· ἐξερημόω, πόλεις Διον. Ἀλ. 5. 77· οὕτως ἐν τῷ Μέσ. τύπῳ, Πλουτ. Ἀγησ. καὶ Πομπ. Σύγκρ. 3.

ἐξοίκισις, εως, ἡ, = τῷ ἑπομ., πλημμ. γρ. ἀντὶ τοῦ **ἐξοικήσεις** ἐν Πλάτ. Νόμ. 704C.

ἐξοικισμός, ὁ, ἔξωσις, ἐκδίωξις τῶν κατοίκων, μνημονεύεται ἐκ τοῦ Φίλωνος (κατὰ τὸν Θησ. Στεφ. τ. 2. σ. 223).

ἐξοικιστέον, ῥημ. ἐπίθ. τοῦ **ἐξοικίζω**, δεῖ ἐξοικίζειν, ἐκδιώκειν, ἀποβάλλειν, εἰ τοὺς γελωτοποιοὺς ἐξοικιστέον τῆς ἡμεδαπῆς πολιτείας Κλήμ. Ἀλεξ. 195.

ἐξοικιστής, οῦ, ὁ, ὁ ἐξοικίζων, ἐκδιώκων, παρὰ δαιμόνων ἐξοικιστῶν καὶ ἐχθροποιῶν Χαιρώνδ. παρὰ Στοβ. 291. 30.

ἐξοίκιστος, ον, ὁ, ὁ ἐξοικισθείς, ἐξοίκιστοι Μῆδοι Ψευδοκαλλισθ. Β'. 21, ἔκδ. Mül. σ. 79, ἐν σημ.

ἐξοικοδομέω, οἰκοδομῶ ἐντελῶς, τὸ ἐν Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ ἐξοικοδομήσας Ἡρόδ. 2. 176., 5. 62, Ἀριστοφ. Ὄρν. 1124, κλ.· μεταφ., τέχνην μεγάλην ἐξοικοδομήσας Φερεκρ. ἐν «Κραπατάλλοις» 8· ὡσαύτως ἐν τῷ Μέσ. τύπῳ, Πολύβ. 1. 48, 11.
2) ἐξοικοδομεῖν τὸν κρημνόν, οἰκοδομεῖν ὁδὸν παρὰ τὸν κρημνόν, ὁ αὐτὸς 3. 35, 6. || κρημνίζω μέρος ᾠκοδομημένον, ἐκφράσσω, ἀνοίγω, ταύτας (τὰς πύλας) ἐξῳκοδόμησεν, ἐν ἀντιθέσει πρὸς τὸ **ἀνοικοδομῶ**, Διόδ. 11. 21, πρβλ. Πλουτ. Δίωνα 50.

ἐξοικοδόμησις, εως, ἡ, = οἰκοδόμησις, παύσασθαι τῆς τῶν τειχῶν ἐξοικοδομήσεως Ἰωσήπου Ἰουδ. Ἀρχ. 19. 7, 2.

ἐξοικονομέω, ὡς καὶ νῦν, Ὀρειβάσ. ἐν Maj. Auct. cl. τ. 4, σ. 67.

ἔξοικος, ον, ὁ, μακρὰν τοῦ οἴκου, ἄοικος, ἀνέστιος, Ἑβδ. (Ἰὼβ ϛ', 18).

ἐξοιμώζω, οἰμώζω, θρηνῶ μεγαλοφώνως, «ξεφωνίζω», εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγρὰς Σοφ. Αἴ. 317· γόοισιν Ἀντ. 427.

ἐξοινέω, (οἶνος) εἶμαι ἔξοινος, οἰνοβαρῶ, ὡς ἐξοινῶν καὶ μεθύων Ἡγήσανδρ. παρ' Ἀθην. 477E, Πολυδ. ϛ', 21. || ἀνανήφω, «ξεμεθῶ», κοιμωμένους ἐπὶ πλεῖστον χρόνον, ὡς ἂν ἐξοινήσωσιν Παῦλ. Αἰγιν. 33.

ἐξοινία, ἡ, μέθη, Ἀθήν. 547F.

ἐξοινόομαι, παθ., μεθύσκομαι, ἐξῳνωμένος (οὕτως ὁ Elmsl. ἀντὶ **ἐξοιν-**), ἐμπεπωκὼς πολὺν οἶνον, οἰνοβαρῶν, Εὐρ. Βάκχ. 814, Ἀθήν. 38E.

ἔξοινος, ον, οἰνοβαρῶν, οἰνόφλυξ, μέθυσος, Ἄλεξις ἐν «Εἰσοικιζομένῳ» 3, Μάγων παρ' Ἀθην. 349A, κτλ.

ἔξοισις, εως, ἡ, τὸ ἐκφέρειν, διαθρύλησις, διάδοσις, ἐξοίσεις .. λόγων Ἰωσήπου Ἰουδ. Ἀρχ. 17, 4, 1.

ἐξοιστέος, α, ον, ῥημ. ἐπίθ. τοῦ **ἐξοίσω** (μέλλ. τοῦ **ἐκφέρω**) πρέπει νὰ κομισθῇ ἔξω, ψίαθος ἐστ' ἐξοιστέα Ἀριστοφ. Λυσ. 921. || **ἐξοιστέον**, δεῖ ἐκφέρειν, ἐξοιστέον τἄρ' ὅπλα Καδμείων πόλει Εὐρ. Φοίν. 712, Πλάτ. Παρμ. 128E.

ἐξοιστός, ή, όν, ῥημ. ἐπίθ., ὃν δύναταί τις νὰ ἐκφέρῃ ἢ προφέρῃ, Σέξτ. Ἐμπ. π. Μ. 7. 122.

ἐξοιστράω ἢ -έω, καθιστῶ τινα μανιώδη, κάμνω αὐτὸν νὰ μαίνηται, Λουκ. Ἐνάλ. Διάλ. 10. 2, Αἰλ. π. Ζ. 15. 19. || ἀμεταβ., γίνομαι μανιώδης, μαίνομαι, Παλαίφ. ἐν Ἀδήλ. 43. 1. Κατὰ Σουΐδ. «ἐξοιστρηθείς, μανείς, παρορμηθείς, ἐρεθισθείς».

ἐξοιστρηλατέομαι, Παθ., ἄγομαι εἰς μανίαν, Ψευδο-Πλούτ. 1158F.

ἐξοίσω, μέλλ. τοῦ **ἐκφέρω**.

ἐξοιχνέω, ἐξέρχομαι, διηκόσιοι δ' .. ἀνέρες ἐξοιχνεῦσι (Ἰων.) Ἰλ. Ι. 384.

ἐξοίχομαι, ἔχω ἀπέλθει, ἔχω μεταβῆ, ἢ ἐς Ἀθηναίης ἐξοίχεται.., «ἢ εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς ἐπορεύθη..;» (Θ. Γαζῆς), Ἰλ. Ζ. 379, 384, Σοφ. Ο Κ. 867· ἐξ. θύραζε Πλάτ. Κωμ. ἐν «Λάκωσιν» 1. 11· μεταφ., ἐκ τῆς γνώμης ἐξ. Ἀντιφῶν παρὰ Στοβ. 422. 31.

ἐξοιωνίζομαι, Ἀποθ., ἀποφεύγω ὡς κακὸν οἰωνόν, Λατ. abominari, Πλούτ. ἐν βίῳ Δημοσθ. 21. 2· μετ' ἀπαρ., ἀποφεύγω νὰ πράξω τι, ὁ αὐτὸς ἐν Ἠθ. 289B.

ἐξοκέλλω, ἀμεταβ., ἐπὶ πλοίου, πίπτω ἔξω εἰς τὴν ξηράν, ἐς τὰς ἐκβολὰς τοῦ Πηνειοῦ Ἡρόδ. 7. 182· μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα Αἰσχύλ. Ἀγ. 666· οὕτω καὶ περὶ ἰχθύων, δελφῖνες ἐξοκέλλουσιν εἰς τὴν γῆν Ἀριστ. π. τὰ Ζ. Ἱστ. 9. 48, 6. 2) μεταφ., ἐξ. ἐς τραχύτερα πράγματα Ἰσοκρ. 143C· εἰς λόγου μῆκος ὁ αὐτὸς 409C· εἰς ὕβριν Φύλαρχος 45· εἰς ἀσέλγειαν Πολύβ. 18. 38, 7· ἐς ἐπιθυμίας ἀνοήτους Παυσ. 8. 24, 9· ἐς τρυφὴν Ἀθήν. 523C· ἀπολ., καταστρέφομαι, Πολύβ. 4. 48, 11. || μεταβ., ῥίπτω τὸ πλοῖον εἰς τὴν ξηράν. μεταφ., ῥίπτω, ὠθῶ τινα εἴς τι, ἐμέ τε τὰν μελέαν Ἑκάβαν εἰς τάνδ' ἐξώκειλ' ἄταν Εὐρ. Τρῳ. 137· ὁ πλοῦτος ἐξώκειλε τὸν κεκτημένον εἰς ἕτερον ἦθος Μένανδρ. ἐν Ἀδήλ. 60: — Παθ., μεταφ., δεῦρο δ' ἐξοκέλλεται, οὕτως ἀποβαίνουσι τὰ πράγματα, Αἰσχύλ. Ἱκ. 438· οἱ δὲ εἰς κύβους καὶ κώμους ἐξοκέλλουσι, δίδονται, Πλούτ. 5B.

ἐξολέκω, ἐπιτεταμ. ἀντὶ τοῦ **ὀλέκω**, Χρησμ. Σιβυλλ. 4. 136.

ἐξολισθάνω (οὐδέποτε ἐν τῷ δοκίμῳ Ἀττ. λόγῳ -αίνω, ἴδε **ὀλισθάνω**): μέλλ. -ολισθήσω· ἀόρ. β' -ώλισθον, πίπτω ἐκ τῆς θέσεως ἐν ᾗ εὑρίσκομαι, ἐκ δὲ οἱ ἧπαρ ὄλισθεν, «ἐξέπεσε δὲ τὸ ἧπαρ αὐτοῦ» (Θ. Γαζῆς), Ἰλ. Υ. 470· γλιστρῶ, ξεγλιστρῶ, ἐπὶ αἰχμῆς δόρατος ὅταν κτυπήσῃ ἐπὶ στερεοῦ σώματος, ἀλλ' ὑφίζανον κύκλοις ὅπως σίδηρος ἐξολισθάνοι μάτην Εὐρ. Φοίν. 1383· τινός, ἔκ τινος πράγματος, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 2, 18· — διαφεύγω, ἐκφεύγω, Ἱππῶναξ παρ' Ἀθην. 270B, Ἀριστοφ. Εἰρ. 141· ἐπὶ πραγμάτων, φεύγω ἐκ τῆς μνήμης, ὁ αὐτὸς ἐν Ἐκκλ. 286· περιπίπτω λεληθότως, ῥᾷστα γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσι Ἡρωδιαν. 1. 3, 4· — μετ' αἰτ., ἐκφεύγω ἔκ τινος, Λατ. eludere, διαβολὰς Ἀριστοφ. Ἱππ. 491. || διαπίπτω, διαρρέω, τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαλυθῆναι Πλούτ. 2. 398A.

ἐξολίσθησις, εως, ἡ, ὀλίσθημα, σφάλμα, Εὐσεβ. Ἐκκλ. Ἱστορ. 10. 7.

ἐξόλλυμι καὶ -ύω: μέλλ. -ολέσω καὶ Ἀττ. -ολῶ: ἀόρ. α' **ἐξώλεσα**: πρκμ. **ἐξολώλεκα**. Καταστρέφω ἐντελῶς, ἐξολοθρεύω, τοὺς Ζεὺς ἐξολέσειε Ὀδ. Ρ. 597, πρβλ. Σιμωνίδ. 159, Εὐρ. Ἱππ. 725, κτλ. || Μέσ., μετὰ β' πρκμ. **ἐξόλωλα**, καταστρέφομαι ἐντελῶς, χάνομαι, Ἐμπεδ. 103· σοῦ πατρὸς ἐξολωλότος Σοφ. Τρ. 84, Ἀριστοφ. Εἰρ. 366, Πλάτ. Εὐθύδ. 285A, κτλ.· ὑπὸ τοῦ γε λιμοῦ .. ἐξολωλότες Ἀριστοφ. Εἰρ. 483· τῆς εὐκτικῆς γίνεται χρῆσις ἐπὶ ἀρῶν, ἐξολοίμην ὁ αὐτ. ἐν «Γεωργοῖς» 12 (Meineke)· ἐξόλοιο Ἄλεξ. ἐν «Κυπρίῳ» 1.

ἐξολόθρευμα, τό, τὸ ἐξολοθρεύειν, καταστρέφειν ἐντελῶς, Ἑβδ. (Α' Βασιλ. ΙΕ', 21)· οὕτω καὶ **ἐξολόθρευσις**, εως, ἡ, Μακκ. Ζ', 7, Ἰωσήπου Ἰουδ. Ἀρχ. 11. 6, 6· — ὡσαύτως **ἐξολοθρευτής**, οῦ, ὁ, καταστροφεύς, Ἀθανάσ. τ. 1. σ. 1142E, καὶ **ἐξολοθρευτικός**, ή, όν, καταστρεπτικός, Σχόλ. εἰς Ἀριστοφ. Πλ. 443. Τὸ ῥῆμα εἶναι **ἐξολοθρεύω**, καταστρέφω ἐντελῶς, Πράξ. Ἀποστ. 3. 23, Ἰωσήπ. Ἰουδ. Ἀρχ. 8. 11, 1, συχν. παρὰ τοῖς Ἑβδ.

ἐξολολύζω, ὀλολύζω μεγαλοφώνως, Λατ. exululo, δεινὸν δ' ἐξολόλυξε Βατραχομ. 101.

ἐξόλου. Ἐπίρρ. = ὅλως, Θεόφιλος Ἀντιοχ. 1129C.

ἐξομαλίζω, καθιστῶ τι ἐντελῶς ὁμαλόν, λεῖον, Ἱππ. 28. 21, Βαβρ. 60, ἐν τέλει· ἐν τῷ μέσῳ τύπῳ, Στράβ. 709. || σχηματίζω κατὰ τὸν κανόνα, Ἀπολλών. π. Συντάξ. σ. 310.

ἐξομαλόω, = **ἐξομαλίζω**, Γλωσσ.

ἐξομβρέω, ἀνομβρέω, χύνω ὡς βροχήν, Ἑβδ. (ἔνθα τὸ **ἐξομ-**

ρίσειν καὶ -ίσαι φαίνεται ὅτι εἶναι σφάλματα ἀντὶ τοῦ **-ήσειν καὶ -ῆσαι**), Σειράχ. Α', 19, Ι', 13, Ψευδο-Χρυσόστ. IX. 852C.

ἐξομήρευσις, ἡ, τὸ πέμπειν ὁμήρους, διαφυγεῖν ἅμα τὸν πόλεμον καὶ τὴν ἐξομήρευσιν Πλουτ. Ρωμ. 29, Κάμιλλ. 22.

ἐξομηρεύω, δεῖ δὲ καὶ ἐξομηρεύειν (τοὺς δούλους) ταῖς τεκνοποιίαις, πρέπει δὲ καὶ νὰ συνδέῃ τις τοὺς δούλους πρὸς ἑαυτὸν διὰ τῆς τεκνοποιίας, διότι οὕτω θὰ ἔχῃ ὡς ὁμήρους τρόπον τινὰ τὴν γυναῖκα καὶ τὰ τέκνα αὐτῶν, Ἀριστ. Οἰκ. 1. 5, ἐν τέλει.—Μέσ., λαμβάνω ὡς ὁμήρους, παῖδας Πλουτ. Σερτ. 14· πορίζομαί τι διὰ παροχῆς ὁμήρων, ἐξομηρευσάμενος τὴν φιλίαν Στράβ. 288· ὑποχρεῶ ἐμαυτόν, Διοδ. Ἀποσπ. 571. 29.

ἐξομῑλέω, συνομιλῶ, συναναστρέφομαι, ἤσκει δὲ ἐξομιλεῖν μὲν παντοδαποῖς, χρῆσθαι δὲ τοῖς ἀγαθοῖς Ξεν. Ἀγησ. 11. 4· μεταφ., ἔρχομαι εἰς συνάφειαν, στεφάνων δ' οὐ μία χροιὰ περὶ σὸν κρᾶτα τάχ' ἐξομιλήσει Εὐρ. Κύκλ. 518. **II.** μετ' αἰτ., διὰ τῆς συναναστροφῆς ἑλκύω τινὰ πρὸς ἐμαυτόν, Πολύβ. 7. 4, 6, Πλούτ. 2. 824D, κλπ. **III.** Μέσ., περιστρέφομαί που μακρὰν τοῦ ὁμίλου τῶν φίλων μου, οὐ καλὸν ἐν ὄχλῳ σ' ἐξομιλεῖσθαι στρατοῦ Εὐρ. Ι. Α. 735.

ἐξόμῑλος, ον, ὁ ἔξω ὁμίλου τινός, ἀλλότριος, ξένων γὰρ ἐξόμιλος ἦδε τις βάσις Σοφ. Τρ. 964.

ἐξόμμᾰτος, ον, = ἐξόφθαλμος, Πολυδ. Ε', 69. **II.** τετυφλωμένος, Νικήτ.

ἐξομμᾰτόω, ἀνοίγω τοὺς ὀφθαλμούς τινος, κάμνω αὐτὸν νὰ βλέπῃ, Παθ., ἀνακτῶμαι τὸ φῶς τῶν ὀφθαλμῶν μου, ἀναβλέπω, ἀντὶ γὰρ τυφλοῦ ἐξωμμάτωται Ἀριστοφ. Πλοῦτ. 635, («ἐκ Φινέως Σοφοκλέους ὁ στίχος» Σχόλ.), πρβλ. Αἰλ. π. Ζ. 17. 20. **2)** μεταφ., καθιστῶ τι σαφὲς ἢ φανερόν, φλογωπὰ σήματα ἐξωμμάτωσα Αἰσχύλ. Προμ. 499. **II.** ἐξορύττω τοὺς ὀφθαλμούς, ἐκτυφλῶ, τυφλώνω, Λατ. exoculare, Εὐρ. Ἀποσπ. 545·— **ἐξομματίζω**, μεταγεν. τύπος, «ἡ δὲ συνήθεια τὸ ἐξομματίζω (χυδ. «ξεμματίζω») ἐπὶ τοῦ καθαίρειν τοὺς κυάμους, τὴν προεστηκυῖαν μέλαιναν οὐλήν, οἷον ὀφθαλμὸν ἐκκόπτοντας, καταχρηστικῶς τέταχεν· ὅθεν καὶ ἐξωμματισμένα κοκκία τοὺς οὕτω καθαρθέντας κυάμους λέγομεν» Κοραῆ σημ. εἰς Αἰλ. Ποικ. Ἱστ. (5. 11) σ. 310.

ἐξομμάτωσις, εως, ἡ, νίψις τοῦ ῥύπου τῶν ὀμμάτων, Πολυδ. Β', 48.

ἐξόμνυμι καὶ -ύω: μέλλ. **ἐξομοῦμαι**: ἀόρ. **ἐξώμοσα**. Ὁρκίζομαι πρὸς ἐπιβεβαίωσιν πράγματός τινος, ἐξώμοσεν τοῦτον ἀρρωστεῖν Δημ. 379, 17. **II.** κατὰ τὸ πλεῖστον, ὁρκίζομαι ἀρνούμενός τι, φήσεις μετασχεῖν ἢ 'ξομεῖ τὸ μὴ εἰδέναι; Σοφ. Ἀντιγ. 535· μαρτυρεῖν ἢ ἐξομνύειν Δημ. 850. 10:—ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ Μέσ. τύπῳ: ἀόρ. **ἐξωμοσάμην**, ἀρνοῦμαι ἢ ἀποκρούω τι μεθ' ὅρκου, ταύτας τὰς διαβολὰς ἐξομνυμένους Δημ. 1310. 2· ἢ ἀπολ., Πλάτ. Νόμοι 949Α, Ἰσαῖος 76. 30, κλ.· μετ' ἀρνητ. μορίων, ἐξομ. μὴ οὐκ εἰδέναι Δημ. 1317. 8:—ἀρνοῦμαι μεθ' ὅρκου, δὲν ἀναγνωρίζω, συγγένειαν ἐξόμνυσθαι Ἰωσήπου Μακκ. 10. **2)** ἀρνοῦμαι νὰ ἀναδεχθῶ ἀρχήν τινα ὁρκιζόμενος ὅτι δὲν ἔχω τὰ μέσα ἢ τὴν ἀπαιτουμένην ὑγείαν ὅπως ἐκτελέσω τὰ ἐπιβαλλόμενά μοι καθήκοντα προσηκόντως, Λατ. ejurare magistratum ἢ imperium, ἐξόμόσασθαι τὴν πρεσβείαν Αἰσχίν. 40. 30, πρβλ. Δημ. 378. 18· τὴν ἀρχὴν Ἀριστ. Πολιτ. 4. 13, 2, Πλουτ. Μάρκελλ. 6. 12. Ὁ ὅρκος οὗτος ἐκαλεῖτο **ἐξωμοσία** ἢ **ἀπωμοσία**, ἴδε λεξικὸν τῆς Ἀρχαιολογίας.

ἐξομοιάζω, = τῷ ἑπομ., Καλλικρατίδ. παρὰ Στοβ. 426. 22.

ἐξομοιόω, καθιστῶ τι ὅμοιον, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατὸν Ἡρόδ. 3. 24· αὐτὸν τῇ πολιτείᾳ Πλάτ. Γοργ. 512Ε· πάντα δοκεῖ τοὺς καρποὺς ἐξομοιοῦν, παράγειν ὁμοίους καρπούς, Θεοφρ. π. Φυτ. Ἱστ. 2. 2, 4:—Παθ., γίνομαι ἢ εἶμαι ὅμοιός τινι, ἄνδρας γυναιξὶν ἐξομοιοῦσθαι φύσιν Εὐρ. Ἀνδρ. 354, πρβλ. Ξεν. Οἰκ. 7, 32· σχῆμα ἐξ. πρός τινα Πλουτ. Φλαμινῖνος 3:—ἐν Σοφ. Αἴαντι 549 δεῖ πωλοδαμνεῖν (αὐτὸν) κἀξομοιοῦσθαι φύσιν, τὸ ἐξομοιοῦσθαι εἶναι παθ. ἔχον ὡς ὑποκείμενον τὸ αὐτόν, τὸ δὲ φύσιν εἶναι αἰτ. ἐκφράζουσα τὸ κατά τι, ἴδε σημ. Jebb ἐν τόπῳ.

ἐξομοίωμα, τό, ὁμοίωμα, ὁμοιότης, Συλλ. Ἐπιγρ. 4957. 52.

ἐξομοίωσις, εως, ἡ, ἀφομοίωσις, Θεοφρ. π. Φυτ. Αἰτ. 4. 3, 1. **II.** τὸ νὰ γείνῃ τις ὅμοιος, Πλουτ. Περικλ. 2, κτλ.

ἐξομοιωτικός, ή, όν, κατάλληλος πρὸς ἀφομοίωσιν, δύναμιν ἐξομοιωτικὴν τῷ θεῷ Κλήμ. Ἀλ. 347.

ἐξομολογέομαι, Ἀποθ., ὁμολογῶ τι φανερῶς χωρὶς νὰ τὸ κρύψω, τηλικούτους αὐτοὺς ὄντας ἐξομολογήσασθαι Λουκ. Ἑρμότ. 75, Πλουτ. Εὐμ. 17. **α)** ἐξομολογοῦμαι τὰ ἁμαρτήματά μου, Εὐαγγ. κ. Ματθ. γ'. 6, κ. Μάρκ. α', 5, Πράξ. ιθ', 18, Ἐπιστ. Ἰακώβ. ε', 16, Ἰωσήπου Ἰουδ. Ἀρχ. 5. 10, 5. **β)** εἶμαι ἐν καταστάσει μετανοίας, εἶμαι ὑπὸ κανόνα Βασίλ. IV. 800B. **2)** αἰνῶ, πέμπω εὐχαριστίας (ἑβραϊσμός), Ἑβδ. (Γέν. ΚΘ', 35, Β' Βασιλ. ΚΒ', 50, Ψαλμ. ς', 6 κτλ.), Εὐαγγ. κ. Ματθ. ια', 25, Ἐπιστ. π. Ρωμ. ιδ', 11, Ὠριγέν. Ι. 464C. Βασίλ. Ι. 313Α. **II.** ἐν τῷ ἐνεργ. τύπῳ, συμφωνῶ, δίδω ὑπόσχεσιν ὅτι θὰ πράξω τι, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐξωμολόγησε, «συνεφώνησε ... τελείας ὁμολογίας καὶ συνθήκας ἐποιήσατο» (Θεοφύλ. σ. 510C), Εὐαγγ. κ. Λουκ. κβ', 6.

ἐξομολόγησις, εως, πλήρης ὁμολογία, Πλούτ. 2. 987D. **2)** ἐξομολόγησις ἁμαρτιῶν, Ἑβδ. (Ἰησ. Ζ', 19), Κλήμ. Ἀλ. II. 280Α, Ἱππόλυτ. 621B. C, Τερτυλλ. Ι. 1162Α, κτλ., Ὠριγ. Ι. 560 Α, κτλ., Κυπριαν. Ἐπιστ. 10. 2, 11. 2, Εὐσέβ. VI. 536Α· τὸν τῆς ἐξομολογήσεως ψαλμόν, ὁ Ν' (ΝΑ') Βασίλ. IV. 764B, Ἰω. Χρυσ. Ι. 611D, κτλ. **3) = μετάνοια**, Βασίλ. IV. 672Α, 804Α. **4) = αἴνεσις, εὐχαριστία**, Ἑβδ. (Ἰουδὶθ ΙΕ', 14), Βασίλ. 313Α.

ἐξομολογητικός, ή, όν, ὁ χάριν εἰδώς, ὁ χάριν ὁμολογῶν, ὁ εὐχαριστῶν, Φίλων 1. 60.

ἐξομολογουμένως, Ἐπίρρ. μετοχ. ἐνεστ., = ὁμολογουμένως, Κλήμ. Ἀλ. 763.

ἐξομόργνῡμι: μέλλ. **ἐξομόρξω**:—σπογγίζω ἀπό τινος, ἔκ τ' ὄμορξον στόματος .. πέλανον Εὐρ. Ὀρ. 219.—Μέσ., ἀποπλύνω ἀπ' ἐμαυτοῦ, ἀποβάλλω μίασμα, νασμοῖσι, δι' ὕδατος, Εὐρ. Ἱππ. 653· ἀλλ' αἷμα μὴ σοῖς ἐξομόρξωμαι πέπλοις, ἀλλὰ μήπως σπογγίσω τὸ αἷμα μὲ τὰ ἐνδύματά σου, δηλ. μήπως μολύνω αὐτὰ διὰ τοῦ αἵματος, ὁ αὐτὸς Ἡρ. Μαιν. 1399, πρβλ. Ἠλ. 502. **II.** μεταφ., μηδ' ἐξομόρξει μωρίαν τὴν σὴν ἐμοί, μηδὲ σπογγίζων τὴν μωρίαν σου ἐπάνω μου μὲ πασαλείψῃς μὲ αὐτήν, ὁ αὐτ. Βάκχ. 344, παρῳδεῖται ὑπὸ Ἀριστοφ. ἐν Ἀχαρν. 843, οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι. **2) = ἀπομάττομαι**, ἀποτυπῶ τι εἴς τι, ἃ ἑκάστῳ ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχὴν Πλάτ. Γοργ. 525Α, πρβλ. Νόμους 775D, καὶ ἴδε Ruhnk. ἐν Τιμαίῳ.

ἐξόμορξις, εως, ἡ, ἀποσπόγγισις·— μεταφ., ἀποτύπωσις, Πλάτ. Τίμ. 80Ε.

ἐξόμφᾰλος, ον, ἔχων ἐξέχοντα τὸν ὀμφαλόν, Ἱ. 274Α. **II.** ὡς οὐσιαστ. **ἐξόμφαλος**, ὁ, ἐξέχων, προέχων ὀμφαλός, Διοσκ. 4. 74.

ἐξονειδίζω: μέλλ. Ἀττ. **-ιῶ**:—ἐπιτεταμένον ἀντὶ τοῦ ὀνειδίζω: **1)** μετ' αἰτ. πράγμ., ὀνειδίζω τινὰ πικρῶς, αὕτη γάρ .. τοιάδ' ἐξονειδίζει κακὰ Σοφ. Ἠλ. 288· καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας Εὐρ. Ι. Α. 305· ἐξονειδισθεὶς κακὰ Σοφ. Φιλ. 382·— ἁπλῶς λέγω, ἐκστομίζω τι, Λατ. objicere, εἶδες τὸ τόλμημα οἷον ἐξωνείδισεν; Εὐρ. Φοίν. 1676. **2)** μετ' αἰτ., ἁπλῶς, ὀνειδίζω, ἐπιτιμῶ, ἀπολ., φόνους πατρῴους ἐξονειδίζων πικρῶς Σοφ. Ο. Κ. 990· τινὰ Διόδ. 5. 29· κόλακα ἐξ. τινά, ὀνειδίζειν τινὰ ὡς ὄντα κόλακα, Ἀλκίφρων 3. 63.

ἐξονειδισμός, ὁ, τὸ ἐξονειδίζειν, ὀνειδισμός, μνημονεύεται ἐκ τοῦ Ἰωσήπου.

ἐξονειδιστικός, ή, όν, ὁ ἀγαπῶν νὰ ὀνειδίζῃ, Μ. Ἀντων. 1. 16.

ἐξονειρόω = ἐξονειρώττω, εἰ ἡ γραφὴ ἔχει ὀρθῶς, Ἱππ. 664. 33.

ἐξονειριασμός, ὁ, = **ἐξονειρωγμός** Διοκλ. παρ' Ὀρειβασ. III. 117, 10.

ἐξονειρωγμός, ὁ, = **ὀνειρωγμός**, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 10. 6, 5, Προβλ. 4. 5.

ἐξονειρωκτικός, ή, όν, ὁ πάσχων ἐξ ὀνειρωγμῶν, Ἀριστ. Προβλ. 5. 31.

ἐξονειρώττω = ὀνειρώττω, Ἱππ. 232, 10, Ἀριστ. π. Ζ. Γεν. 2. 4, 22, κ. ἀλλ.

ἐξονομάζω: μέλλ. **-σω**, ἀναφέρω, ὀνομάζω μεγαλοφώνως, Ὁμ. Ὕμν. εἰς Ἑρμ. 59· καὶ συχνάκις παρ' Ὁμ. ἐν τῇ φράσει, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν, «τόν τε λόγον εἶπε καὶ τὰ μέρη αὐτοῦ διεξῆλθε» (Σχόλ.), Ἰλ. Δ. 361, κτλ., πρβλ. Εὐρ. Ι. Α. 1066 (ἔνθα ὁ Δινδόρφ. ἔγραψεν, ἐξονόμηνεν). **II.** καλῶ ἐξ ὀνόματος, Πλουτ. Κικ. 40.

ἐξονομαίνω, λέγω τὸ ὄνομά τινος, ὥς μοι καὶ τόνδ' ἄνδρα .. ἐξονομήνῃς, «ἐξ ὀνόματος εἴπῃς» (Σχόλ.), Ἰλ. Γ. 166· αἴδετο γὰρ γάμον ἐξονομῆναι, ν' ἀναφέρῃ περὶ τοῦ γάμου, νὰ εἴπῃ περὶ αὐτοῦ ὀνομαστί, Ὀδ. Ζ. 66, πρβλ. Ὁμ. Ὕμν. εἰς Ἀφρ. 252.

ἐξ-ονομακλήδην, Ἐπίρρ. (καλέω), «τὸ ἐκ κυρίων ὀνομάτων καλεῖν, οἷον, σχέσθε ὦ Ἀντῆνορ», κτλ. (Εὐστ.), ὀνομαστί, ἐξ ὀνόματος ὀνομάζειν, ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον Ἰλ. Χ. 415, πρβλ. Ὀδ. Δ. 278· ἐμὲ δὲ φθέγγοντο καλεῦντες ἐξονομακλήδην αὐτόθι Μ. 250· καὶ προκαλεῖσθαι ἐξονομακλήδην ᾧ προπιεῖν ἐθέλει Κριτίας παρ' Ἀθην. 432Ε: πρβλ. **ὀνομακλήδην**.

ἐξονῠχίζω, ἐξετάζω, δοκιμάζω τι μετὰ προσοχῆς διὰ τοῦ ὄνυχος· ἐντεῦθεν, ἐξετάζω τι μετ' ἀκριβείας, ἀκριβολογοῦμαι, ἐξονυχίζεις τε πάντα τὰ προσπίπτοντα τοῖς συνδιαλεγομένοις Ἀθήν. 97D· ἀκριβοῦν καὶ ἐξονυχίζειν Ἀρτεμίδ. 1. 16 ἐν τέλει. **II.** ἀφαιρῶ τοὺς ὄνυχας, ἤτοι τοὺς λοβοὺς τοῦ ῥόδου (ἴδε ὄνυξ III. 1)· ἐξωνυχισμένα ῥόδα Γαλην. καὶ Παῦλ. Αἰγιν. Περὶ τοῦ ῥήματος τούτου καθόλου, ἴδε Φρύνιχον 289 καὶ σημ. Λοβεκκίου ἐν τόπῳ, Θωμ. Μαγ. 651, Πολυδ. Β', 146, κλ., πρβλ. **ὀνυχίζω**.—Παρὰ Πλουτ. 2. 692C πλημμ. γραφὴ **ἐξονυχίζουσι** ἀντὶ **ἐξευνουχίζουσι**.

ἐξοξύνομαι, ξινίζω, ἐπὶ οἴνου, Θεοφρ. π. Φυτ. Αἰτ. 6. 7, 7.

ἐξοπάζω, ἐκπέμπω, «ἐξώπαζεν· ἐξέπεμπεν» Ἡσύχ.

ἐξοπίζω, ἐκπιέζω, ἐκθλίβω, ὀπὸς εἰς ἔριον ἐξοπισθεὶς Ἀριστ. π. τὰ Ζ. Ἱστ. 3. 20, 15.

ἐξόπιθεν καὶ -θε, Ἐπίρρ. Ἐπικ. ἀντὶ τοῦ ἐξόπισθεν, πεζοὺς δ' ἐξόπιθε στῆσεν Ἰλ. Δ. 298 κ. ἀλλ., Ἡσ. Ἀσπ. Ἡρ. 130. 2) ὡς πρόθ. μετὰ γεν., ἐξόπιθεν κεράων Ἰλ. Ρ. 521.

ἐξόπιν, Ἐπ. = τῷ προηγ. Ι, Αἰσχύλ. Ἀγ. 115: πρβλ. **κατόπιν**.

ἐξόπισθεν, καὶ ποιητ. -θε, Ἐπίρρ. Ἀττ. ἀντὶ τοῦ ἐξόπιθεν, Ἀριστοφ. Ἱππ. 22, Πλάτ. Νόμοι 947D, κλ.· εἰς τὸ ἐξ., πρὸς τὰ ὀπίσω, ὁ αὐτὸς ἐν Τιμ. 84E, κτλ.· τὸ ἐξ. τῆς κεφαλῆς Ἀριστ. π. τὰ Ζ. Ἱστ. 3. 3, 1. 2) ὡς πρόθ. μετὰ γεν., Ἀριστοφ. Ἀχ. 868. II. ἐπὶ χρόνου, τὰ **ἐξόπισθεν** = **ἐξοπίσω** II, Σοφ. Ἀποσπ. 527.

ἐξόπιστο, βαρβαρισμὸς ἀντὶ τοῦ προηγ., Ἀριστοφ. Θεσμ. 1124.

ἐξοπίσω, Ἐπίρρ. I. τόπου (ὡς ἀείποτε ἐν τῇ Ἰλ.) πρὸς τὰ ὀπίσω, ὀπίσω πάλιν, Ἰλ. Λ. 461, Ν. 436, Σοφ. Ἀποσπ. 479· ἐξ. ἀποπέμπειν Ἡσ. Ἔργ. κ. Ἡμ. 88. 2) ὡς πρόθ. μετὰ γεν., ὀπίσω. ἐξοπίσω νεκροῦ χάζεσθαι Ἰλ. Ρ. 357. II. χρόνου (ὡς ἀείποτε ἐν τῇ Ὀδ.), τοῦ λοιποῦ, Δ. 35 κ. ἀλλ.: οὕτω καὶ παρὰ Τυρτ. 9. 30, Πινδ. Ο. 7. 124.

ἐξοπλασία, ἡ, = **ἐξοπλισία**, ἐξέτασις ἐν ὅπλοις, Ἐπιγρ. Κέω, Rang. Ant. hel. 821 (CIG. 2360), Ἐρυθρῶν, Μουσ. κ. βιβλ. Εὐαγ. σχ. Σμύρνης 1880, σ. 123.

ἐξοπλίζω, ἐντελῶς ὁπλίζω, Ἡρόδ. 7. 100, Ξεν. Κύρ. 4. 5, 22 κ. ἀλλ.· ποιητ., ἐξ. Ἄρη Αἰσχύλ. Ἱκ. 682, 702, πρβλ. 97:— Μέσ. καὶ Παθ., ὁπλίζω ἐμαυτόν, κάρᾳ λέοντος, ἧπερ .. ἐξωπλίζετο, ἐπὶ τοῦ Ἡρακλέους, Εὐρ. Ἡρ. Μαιν. 466· κἂν τῶδε πᾶς τις ... ἐξωπλίζετο, ὥπλιζεν ἑαυτόν, ὁ αὐτὸς Ι. Τ. 302· παρατάσσομαι· ἐξωπλισμένος ἔν τινι τόπῳ, ὄπισθεν τῶν ἁρμαμαξῶν ἐξοπλίσθητε Ξεν. Κύρ. 6. 3, 32· ἐξωπλισμένος, ἐντελῶς ὡπλισμένος, Ἀριστοφ. Λυσ. 454, Πλάτ. Πολ. 555D, κτλ.· ἴδε τὸ ῥῆμα **ἐξαυλίζομαι**. 2) καθόλου, ἐξωπλισμένος, ἐντελῶς παρεσκευασμένος, ἐντελῶς ἕτοιμος, Ἀριστοφ. Εἰρ. 566· μᾶζα .. πρὸς ἐντέλειαν ἐξωπλισμένην Ἀντιφάν. ἐν Ἀδήλ. 1, πρβλ. τὸν αὐτὸν ἐν «Φιλοθηβαίῳ» 1. 19. II. ἀφοπλίζω, Ἀππ. Ἐμφυλ. 2. 28.

ἐξοπλισία, ἡ, ἐξοπλισμός, ἐν τῇ ἐξοπλισίᾳ, ἐν ᾧ χρόνῳ ὁ στρατὸς εὑρίσκετο ἐν ὅπλοις, ἐν τῇ ἐξετάσει, ἐν τῇ ἐπιθεωρήσει, Λατ. in procinctu, Ξεν. Ἀν. 1. 7, 10, Συλλ. Ἐπιγρ. 2360. 39· ἐν ταῖς ἐξοπλισίαις, ἐν ταῖς στρατιωτικαῖς ἐπιθεωρήσεσι, Διόδ. 19. 3.

ἐξόπλισις, εως, ἡ, τὸ ἐξοπλίζεσθαι, ἐξοπλισμός, πολλοῦ χρόνου δέονται εἰς ἐξόπλισιν Ξεν. Κύρ. 8. 5, 9, πρβλ. Ἀριστ. Προβλ. 19. 48.

ἐξοπλισμός, ὁ, ὁ ἐξοπλισμὸς τοῦ ἀγροῦ καὶ οἴκου, τὰ ἔπιπλα, τὰ σκεύη, Βασιλικ. Βιβλ. 20, τιτ. 1. κ. 3.

ἔξοπλος, ον, (ὅπλον) ἄοπλος, Πολύβ. 3. 81, 2.

ἐξοπτάω: μέλλ. -ήσω, ὀπτῶ, «ψήνω» καλῶς, ἐν τῇ καμίνῳ Ἡρόδ. 4. 164· σάρκας πυρὶ Εὐρ. Κύκλ. 403, πρβλ. Ἀριστοφ. Ἀχ. 1005:—Παθ., τεμάχη ἐξωπτημένα Φερεκρ. ἐν «Μεταλλεῦσι» 1. 10, πρβλ. Εὔβουλ. ἐν «Αὔγῃ» 1. 8· ἐξ. τὴν κάμινον, ὑπερθερμαίνω, Ἡρόδ. 4. 163. II. μεταφ., ἐπὶ ἔρωτος, Λατ. exurere, ἐκκαίω, κατακαίω, ἐξοπτᾷ δ' ἐμὲ Σοφ. Ἀποσπ. 421.

ἐξοπτος, ον, καλῶς ὠπτημένος, καλὰ ψημένος, Ἱππ. π. Ἀρχ. Ἰητρ. 13.

ἐξοράω, βλέπω μακράν: Παθ., φαίνομαι μακρόθεν, ὥστ' ἐξορᾶσθαι τὸν στρατηγὸν ἐμφανῶς Εὐρ. Ἡρακλ. 675, Ἠλ. 1269· πρβλ. **ἐξεῖδον**. II. βλέπω μὲ ἐξέχοντας, «γουρλωμένους» ὀφθαλμούς, ἐξορᾷ ὡς ἀγχόμενος Ἱππ. 485. 18: πρβλ. **ἐξόμματος**, **ἐξόφθαλμος**.

ἐξοργανόω, ἐπιτεταμ. τοῦ **ὀργανόω**, διοργανώνω, Μ. Φιλῆς τ. Α', σ. 190, ἔκδ. Mil.

ἐξοργάω, ἐπιτεταμένον ἀντὶ τοῦ **ὀργάω**, Πλούτ. 2. 652D.

ἐξοργιάζω, διὰ μυστικῶν τελετῶν ἐξαγνίζω, χρῆσθαι τοῖς ἐξοργιάζουσι τὴν ψυχὴν μέλεσι Ἀριστ. Πολιτικ. 8. 7 4.

ἐξοργίζω: μέλλ. Ἀττ. -ιῶ, κινῶ εἰς ὀργήν, παροργίζω, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ' ἂν ἐξοργίζοι Ξεν. Ἱππ. 9, 2, Αἰσχίν. 27. 19· τινὰ πρός τινα Ξεν. Ἀπομν. 3. 3. 7:— Παθ., ἐξοργίζομαι, ὡς καὶ νῦν, τούτου χάριν ἐξώργισμαι, εἶμαι πλήρης ὀργῆς, Βατραχομυομ. 186, Ἀρισταίν. 2. 20.

ἐξορθιάζω, βοῶ μεγαλοφώνως, κἀξορθιάζων, «ἀνατεταμένα βοῶν» (Σχόλ.), Αἰσχ. Χο. 271. II. μεταφ., ἔχω τι ὄρθιον, ἐξορθιάζων τῷ αἰδοίῳ, μὲ ὄρθιον αἰδοῖον, περὶ τοῦ ἀγάλματος τοῦ Ὀσίριδος, Πλουτ. 2. 371F.

ἔξορθος, ον, ὄρθιος, Ἀθήν. 496D· **ἐξόρθιος**, ον, Σχόλ. εἰς Ἄρατ. 161: πρβλ. **ἔξορρος**.

ἐξορθόω, ἀνορθώνω, τὸ ποσὸν Πλάτ. Νόμοι 862C. 2) μεταφ., φυλάττω τι ὀρθόν, δὲν ἀφίνω νὰ πέσῃ ἢ νὰ κινδυνεύσῃ, ἐξασφαλίζω, μή μου προτάρβει· τὸν σὸν ἐξόρθου πότμον Σοφ. Ἀντ. 83· διορθῶ, Πλάτ. Τίμ. 90D· ἤν τι μὴ καλῶς ἔχῃ, γνώμαισιν ὑστέραισιν ἐξορθούμεθα Εὐρ. Ἱκ. 1083, πρβλ. 1087.

ἐξορία, ἡ, ἴδε ἐν λ. **ἐξόριος**.

ἐξορίζω: μέλλ. Ἀττ. -ιῶ, ἀποπέμπω, ἐξάγω, ἔξω τῶν ὁρίων, ἐξορίζω, Λατ. exterminate, Εὐρ. Ἡρακ. 257, Πλάτ., κτλ.· γᾶθέν τινα Εὐρ. Τρῳ. 1106· τὸ σῶμά τινος ἐξ. (πρβλ. **ἐξόριστος**), Πλουτ. Φωκ. 37. οὕτω καὶ Παθ., ἐξορισθῆναι καὶ ἀποθανόντα, μηδὲ ἐν τῇ πατρίδι ταφῆναι Ὑπερείδ. ὑπὲρ Λυκόφρ. 16. 2) ἐκθέτω βρέφος, Εὐρ. Ἴων. 504. 3) ἐκδιώκω, ἀπομακρύνω, πραότητα μὲν πορίζων, ἀγριότητα δὲ ἐξορίζων Πλάτ. Συμπ. 197D· τὴν αἰσχρολογίαν Ἀριστ. Πολιτικ. 7. 17, 8· τοὺς δ' ἀνιάτους ὅλως ἐξορίζειν, ὁ αὐτὸς ἐν Ἠθ. Ν. 10, 9, 10. II. μετ' αἰτ. τόπου μόνον, φεύγομεν δ' ἀλώμενοι ἄλλην ἀπ' ἄλλης ἐξορίζοντες πόλιν, καθιστῶντες μίαν πόλιν μετὰ τὴν ἄλλην τὸ ὅριον τῆς φυγῆς ἡμῶν, δηλ. μεταβαίνοντες ἀπὸ πόλεως εἰς πόλιν, Εὐρ. Ἡρακλ. 16· πρβλ. **ὁρίζω** Ι. 4. II. ἐν τῷ Παθ., παλαιῶν προγεννητόρων ἐξορίζεται κακόν, «ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος (Σχόλ.), ὁ αὐτὸς ἐν Ἱππ. 1381. Ἐν Ἐπιγρ. Ἰδαλίου Κύπρου (60, 25·26) ἀπαντᾷ **ἐξορύζω** διὰ τοῦ υ. Ἴδε Hoffman Griech. Dialekte I. σ. 72.

ἐξορίνω [ῑ], παροξύνω, ἐξοργίζω, σὺ δ' ἐξορίνας νηπίοις ὑλάγμασιν ἄξει Αἰσχύλ. Ἀγ. 1631.

ἐξόριος, α, ον, (ὅρος) ὁ ἔξω τῶν ὁρίων χώρας τινός, Πολυβ. ϛ', 198· ἐντεῦθεν **ἐξορία** (ἐξυπ. ζωή), ἡ, δηλ. ζωὴ ἔξω τῶν ὁρίων τῆς πατρίδος τινός, ἐξορία, Μαρκελλῖνος ἐν Βίῳ Θουκ. XV, ἔκδ. Βεκκ., Εὐστ. 1161. 35.

ἐξόρισις, ἡ, = **ἐξορισμός**, Ἀθαν. II. 820C.

ἐξορισμαῖος, ον, ἐξόριστος, Ἡσύχ. ἐν λέξει **δηπορτᾶτος** (Λατ. deportatus).

ἐξορισμός, ὁ, τὸ ἔξω τῶν ὁρίων ἐκβάλλειν, Διον. Ἀλ 5. 12, Πλούτ. 2. 549A.

ἐξοριστέος, α, ον, ὃν πρέπει τις νὰ ἐξορίσῃ ἢ νὰ ἐκδιώξῃ, Κλήμ. Ἀλ. 189. II. **ἐξοριστέον**, δεῖ ἐξορίζειν, ἐκδιώκειν Θεμίστ. 300Δ.

ἐξοριστία, ἡ, ἐξόρισις, ἐξορία, Ἀθαν. Ι. 253Α. D.

ἐξοριστικός, ή, όν, ὁ ἐξορίζων, Διογ. Λ. 10. 143· ἀλλ' ἴδε **ἐξεριστικός**.

ἐξόριστος, ον, ἐξωρισμένος, ὡς καὶ νῦν, ἐξόριστος ἀνηρῆσθαι, νὰ καταστραφῇ ἐν τῇ ἐξορίᾳ, Δημ. 548. 27· τῆς Ἰταλίας .. ἐξορίστους καταστῆσαι Πολύβ. 2. 7, 10. 2) ὁ ἔξω τῶν ὁρίων, ἐπὶ πτώματος κακούργου, τὸν .. ἀλιτήριον ἀποκτείναντες ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι Δείναρχ. 100. 11.

ἐξορκίζω: μέλλ. Ἀττ. -ιῶ, μεταγεν. τύπος τοῦ **ἐξορκόω**, Δημ. 1265. 6, Ἐπιγραφ. Κρήτ. ἐν τῇ Συλλ. Ἐπιγρ. 2554. 32, 36, κ. ἀλλ.· καὶ ἐξορκιῶ σε κύριον τὸν θεὸν ἵνα μὴ λάβῃς Ἑβδ. (Γέν. ΚΔ', 3)· ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς Εὐαγγ. κ. Ματθ. κϛ', 63. II. ἐξορκίζω πνεῦμα πονηρόν, Ἰουστῖν. ἐν Διαλόγῳ πρὸς Τρύφ. 76. 85, 30, κλ.

ἐξορκισμός, ὁ, τὸ νὰ βάλῃ τίς τινα νὰ ὁρκισθῇ, Πολύβ. 6. 21, 6. II. ἐξορκισμὸς ὡς καὶ νῦν, Εἰρην. 672C, Τερτυλλ. Ι. 657B, II. 56B, 748B.

ἐξορκιστής, οῦ, ὁ δι' ἐξορκισμῶν ἐκβάλλων τὰ πονηρὰ πνεύματα ἐκ τῶν κατεχομένων ὑπ' αὐτῶν, ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν Πράξ. Ἀποστ. ιθ', 13, Πτολ. Τετρ. 182, Εὐσέβ. II. 621Α, Ἀνθ. Π. 11, 427.

ἔξορκος, ον, ὁ μεθ' ὅρκου, ἔξορκος ἐπέσσεται .. βοᾷ κήρυκος ἐσθλοῦ Πίνδ. Ο. 13. 140.

ἐξορκόω, ἀρχαιότερος τύπος τοῦ **ἐξορκίζω** (ἴδε Λοβέκκ. ἐν Φρυν. 360 κἑξ.): — βάλλω τινὰ νὰ ὁρκισθῇ, μετ' αἰτ. προσ. ἢ ἀπολ., ἐξορκούντων οἱ πρυτάνεις Συνθήκη παρὰ Θουκ. 5. 47, πρβλ. Δημ. 535. 24, Ἐπιγρ. Ἀττ. ἐν τῇ Συλλ. Ἐπιγρ. 88· συχνάκις ἑπομένου ἢ μὴν (Ἰων. ἢ μέν), μετ' ἀπαρ. μέλλ., ὡς ἐν Ἡρόδ. 3. 133, 4. 154· μετ' αἰτ. προσ. καὶ πράγμ., κάμνω τινὰ νὰ ὁρκισθῇ εἴς τι, ἐξ. τινὰ τὸ Στυγὸς ὕδωρ ὁ αὐτὸς 6. 74.

ἐξόρκωσις, εως, ἡ, δι' ὅρκου ὑποχρέωσις, ἀποσειόμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου, ἀπολύων ἑαυτὸν (ὁ Θεμίσων) τῆς ὑποχρεώσεως τοῦ ὅρκου ὃν ἐπέβαλεν αὐτῷ ὁ Ἐτέαρχος, Ἡρόδ. 4. 154. Ἴδε **ἀφοσιόω** II. 2.

ἐξορμάω, ἀποστέλλω, ἐκπέμπω εἰς πόλεμον, τοὺς .. ἐπόχους πολλοῖς ἅρμασιν ἐξορμῶσιν Αἰσχύλ. Πέρσ. 46, Εὐρ. Ι. Τ. 1437· πάλιν ἐξόρμα, κάμε αὐτοὺς νὰ στραφῶσιν ὀπίσω, ὁ αὐτὸς Ι. Α. 151· οἱ ἐξορμῶντες .. ναῦν, οἱ ἐξάγοντες αὐτὴν εἰς τὸ πέλαγος, Θουκ. 7. 14· κινῶ πρὸς τὰ ἔξω, εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα Ἀριστοφ. Θεσμ. 659:— Παθ., κινῶ ἔκ τινος μέρους ὅπως μεταβῶ εἰς ἄλλο, «ξεκινῶ», ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι ἐξορμωμένους Ἡρόδ. 9. 51, κλ.· πρὸς ἔργον Εὐρ. Ὀρ. 1240, κτλ.· ἐπὶ βελῶν, ὁρμῶ ἔξω, οὐχ ὁρᾷθ' ἐκηβόλων τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας; αὐτόθι 273, πρβλ. Αἰσχύλ. Εὐμ. 182· τρέχω μεθ' ὁρμῆς ἔκ τινος τόπου, Σοφ. Ο. Κ. 30, ἔνθα ἴδε σημ. Jebb· τὸ κεῖσε δεῦρό τ' ἐξ. ὁ αὐτὸς Τρ. 929. 2) παρορμῶ, ἔννυχος γὰρ ἐξόρμα φόβος Εὐρ. Ῥῆσ. 788, Θουκ. 6. 6, 88· ἐξ. τινὰ ἐπὶ τὴν ἀρετὴν Ξεν. Ἀν. 3. 1, 22. II. ἀμεταβ., ὡς τὸ Παθ., ἐπὶ πλοίου, μή σε λάθησιν (ἡ ναῦς) κεῖσ' ἐξορμήσασα, μήπως, χωρὶς νὰ τὸ στοχασθῇς, ἐκτραπῇ τῆς ὁδοῦ αὐτῆς ἡ ναῦς καὶ ὁρμήσῃ πρὸς τὰ ἐκεῖσε, δηλ. πρὸς τὸν σκόπελον,

Ὀδ. Μ. 221· κινῶ νὰ ὑπάγω εἰς μέρος τι, ταῦτα δ' ἦν ἐν τῇ ἡμέρᾳ ᾗ ἡμεῖς δεῦρ' ἐξωρμῶμεν πεζῇ Ξεν. Ἀν. 5. 7, 17· μετὰ γεν., ἀπέρχομαι ἔκ τινος τόπου, ἡνίκ' ἐξώρμα χθονὸς Εὐρ. Τρῳ. 1131, κτλ. — μεταφ., ἀναφαίνομαι αἰφνιδίως, ἐξήνθηκεν, ἐξώρμηκεν (ἡ νόσος) Σοφ. Τρ. 1089.

ἐπαυχέω: ἀόρ. **-ηύχησα** Ἀριστοφ. Ὄρν. 628· μεγαλαυχῶ ἐπί τινι, μετὰ δοτ. πράγμ., τούτοις ἐπαυχεῖν καὶ δεδρακυῖαν γελᾶν Σοφ. Ἀντ. 483, Ἀριστοφ. ἔνθ' ἀνωτ. **2**) μετ' ἀπαρ., βεβαίως οἶδα, πέποιθα ὅτι, ὡς κἄμ' ἐπαυχῶ τῆσδε τῆς φήμης ἄπο, κτλ., Σοφ. Ἠλ. 65.—Καθ' Ἡσύχ. «ἐπαυχεῖ· ἐπεύχεται».

ἐπαυχμέω, πέμπω ἢ προξενῶ αὐχμόν, ξηρασίαν, Ζεὺς οὔτ' ἐξεπομβρῶν οὔτ' ἐπαυχμήσας Σοφ. Ἀποσπ. 470

ἐπαΰω, ἐπιβοῶ, ἐπιφωνῶ, ἐπαΰσας πατρὸς ἔργῳ Αἰσχύλ. Χο. 828· παρὰ Θεοκρ. 23. 44, τρὶς ἐπᾄϋσον, ὦ φίλε, κεῖσαι, μετὰ βραχέος υ ἐναντίον πάσης χρήσεως· ὅθεν ὁ Briggs προὔτεινεν ἐπᾄϋσον, φίλε, κ., ἢ ἐπάπυσον, ὦ φίλε, κ. (ἴδε **ἐπηπύω**) (ἐπαίασον Ahrens).

ἐπαφαίρεσις, εως, ἡ, νέα ἀφαίρεσις, νέα ἀφαίμαξις, Ἀρετ. Ὀξ. Νούσ. Θεραπευτ.1.1.

ἐπᾰφᾰνίζω, κάμνω πρόσετί τι ν' ἀφανισθῇ, Λύσ. παρ' Ἰαμβλ. ἐν Βίῳ Πυθ.77.

ἐπαφαυαίνομαι, ξηραίνομαι, ὥστ' ἐπαφαυάνθην Παναθηναίοισι γελῶν, «σκοτώθηκα ἀπὸ τὰ γέλοια», Ἀριστοφ. Βάτρ.1089.

ἐπᾰφάω (ἴδε **ἀφάω**), ἐπιψαύω, Ἑκαταῖος 360, Αἰσχύλ. Πρ. 849, Ποιητ. παρὰ τῷ Σχολ. Σοφ. Ο. Κ.1375, Πλάτ. Κρατ. 404D· — ὡσαύτως ἐν τῷ Μέσῳ, ἀπολ., Ἱππ. 661. 25· μετὰ γεν., χειρὶ ἐπ. τινὸς Μόσχ. 2. 50· κιθάρης Ἀνθ. Π. 5. 222· μουσικῆς Ἀλκίφρ. 3.12· μετ' αἰτ., παλάμῃ κρᾶτ' ἐπαφησάμενος Ἑλλην. Ἐπιγράμμ. 562. 8.

ἐπάφεσις, ἡ, τὸ ἐπαφιέναι τι, Εὐστ. Πονημάτ. σ.179, 91.

ἐπαφετέον, ῥημ. ἐπίθ. τοῦ **ἐπαφίημι**, δεῖ ἐπαφιέναι, τὸν ἵππον ταῖς θηλείαις Γεωπον.18. 3, 1.

ἐπᾰφή, ἡ, (ἐπαφάω) ἀφή, τὸ ἐφάπτεσθαι, Αἰσχύλ. Ἱκέτ. 18, Πλάτ. Τίμ. 46Β, κ. ἀλλ.· ἐπαφὰ δὲ μουσικὰ [τῆς λύρας] Εὐρύφαμ. Πυθαγόρειος παρὰ Στοβ. 556. 39. **2**) αὐστηρὰ μεταχείρισις, τιμωρία, Πλουτ. 2. 46D, ἔνθα ἴδε Wyttenb. **3**) ἀφή, προσέγγισις, Συλλ. Ἐπιγρ. 3546.11. **II**. ἡ αἴσθησις τῆς ἀφῆς, Πλάτ. Θεαίτ.186Β.

ἐπάφημα, τό, ἐπαφή, φιλήματα καὶ ἐπαφήματα Διογεν. Ἐπιστ.10.

ἐπάφησις, εως, ἡ, = **ἐπαφή**, Κλήμ. Ἀλ. 241.

ἐπαφίημι: μέλλ. **-αφήσω**, ῥίπτω ἐναντίον τινός, τὰ παλτὰ ἐπαφεῖναι Ξεν. Κύρ. 4. 1, 3· κεραμίδα τινὶ Πλούτ. 2. 241Β·

ἀπολύω ἐναντίον τινός, τοὺς ἱππεῖς καὶ τοὺς εὐζώνους ἐπαφιέναι τοῖς ἱππεῦσι τῶν ὑπεναντίων Πολύβ. 11. 22, 8· τοὺς εὐζώνους 10. 39, 3· ἐλέφαντας, κύνας ἐπ. τινι Παυσ. 1. 12, 3, κτλ.· ἐπαφῆκεν ἑαυτὸν τῷ πλακοῦντι Ἀλκίφρων 1. 22. 2) ἀφίνω τι νὰ τρέξῃ εἴς τι, ὕδωρ τῷ σίτῳ Θεόφρ. π. Φυτ. Αἰτ. 2. 5, 5. 3) ἐκβάλλω, ἐπ. ὑγρότητα Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5.18, 5· ἐπ. φωνήν, ἐκπέμπειν, ὁ αὐτ. π. Θαυμ. 175.

ἐπαφίπταμαι, ἀφίπταμαι μετ' ἄλλον, σὺ ἐνθένδε ἀποπτὰς καὶ τοῖς ἄλλοις τοῦ ἐπαποπτῆναι γεγονὼς παράδειγμα Μ. Ἀκομ. τ. Β', σ. 271. 18, ἐκδ. Λ.

Ἔπαφος, ὁ, υἱὸς τοῦ Διὸς καὶ τῆς Ἰοῦς, Αἰσχύλ. Πρ. 850· ἴδε ἐν λ. ἀφή· ὁ δὲ Ἆπις κατὰ τὴν Ἑλλήνων γλῶσσάν ἐστι Ἔπαφος Ἡρόδ. 2.153., 3. 27, 28.

ἐπαφριάω, = τῷ ἑπομ., ἐν τῇ Ἐπικ. μετοχ. -όωσα Νόνν. Δ. 43. 318.

ἐπαφρίζω, παράγω ἀφρὸν ἐπάνω ἢ ἐπὶ τῆς ἐπιφανείας, Μόσχ. 5. 5, Νικ. Ἀλεξιφ. 32.

ἐπαφροδῖσία, ἡ, τὸ ἐπαφρόδιτον, ἐρασμιότης, κομψότης, Ἀθήν. 242C, Δίων Χρ. 2. 118.

ἐπαφρόδῖτος, ον, (Ἀφροδίτη) θελκτικός, ἐπίχαρις, κομψός, Λατ. venustus, ἐπὶ προσ., Ἡρόδ. 2. 135, Αἰσχίν. 33. 35· ἐπὶ πραγμ., Ξεν. Συμπ. 8, 15, Ἰσοκρ. 219A· ὑπερθ. **-ότατος** ὁ αὐτὸς ἐν Ἱέρωνι 1. 35:—Ἐπίρρ. **ἐπαφροδίτως**, γράφειν ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως Διον. Ἁλ. π. Λυσίου 11, σ. 477. 8. **II.** ἐν χρήσει πρὸς μετάφρασιν τοῦ ἐπιθέτου τοῦ Σύλλα Felix, εὐνοούμενος ὑπὸ τῆς Ἀφροδίτης, ὅ ἐ. ὁ εὐνοούμενος τῆς τύχης (μεταφ. ἐκ τοῦ παιγνιδίου τῶν κύβων), Πλουτ. Σύλλ. 34, πρβλ. Ἀππ. Ἐμφυλ. 1. 97. **III.** ὡς κύριον ὄνομα ἐνίοτε συναιρεῖται εἰς τὸ **Ἐπαφρᾶς, ᾶ**, ἴδε Βεντλέϋον ἐν Ἐπιστολῇ πρὸς Mill. σ. 82 (347).

ἔπαφρος, ον, ὑπ' ἀφροῦ κεκαλυμμένος, Ἱππ. Ἐπιδημ. τὸ Α', 969, «ἔπαφρα· τὰ διάλευκα καὶ οἷον ἀφρώδη» Ἐρωτιαν. σ. 140· «τὰ τὸν ἀφρὸν ἄνωθεν ἐποχούμενον ἔχοντα» Γαλην.

ἐπαφύσσω: μέλλ. -ύσω [ῠ], ἐπαντλῶ, ἐπιχέω, ἔπειτα δὲ θερμὸν (δηλ. ὕδωρ) ἐπήφυσεν Ὀδ. Τ. 388.

ἐπάχθεια, (ἐπαχθής), ἐνόχλησις, ἄχθος, Χρυσόστ. III. 597E.

ἐπαχθέω, φορτώνω, χρυσὸν καὶ ἄργυρον, οἷσι βαθείας νῆας ἐπαχθήσαντες Τρυφιόδ. 690.

ἐπαχθής, ές, (ἄχθος) ὁ προξενῶν βάρος, βαρύς, ῥήματα Ἀριστοφ. Βάτρ. 940. **II.** μεταφ., φορτικός, δυσάρεστος, ὀχληρός, ἅπαντ' ἐπαχθῆ (οὕτως ὁ Stanl. ἀντὶ ἐπράχθη) Αἰσχύλ. Πρ. 49· εἰ μὴ ἐπαχθές ἐστιν εἰπεῖν Πλάτ. Φαίδων 87A· ἐπαινεῖν ἐπαχθέστερόν [ἐστι] ὁ αὐτὸς ἐν Νόμοις 688D· ἵνα μηδὲν ἐπαχθὲς λέγω, ἵνα μὴ εἴπω τι δυσάρεστον, Δημ. 228. 21:—**τὸ ἐπαχθές**, τὸ δυσάρεστον, Πλάτ. Εὐθύδ. Ε· τὸ ἐπ. αὐτοῦ ὁ αὐτὸς ἐν Πρωταγ. 316D.—Ἐπίρρ. **ἐπαχθῶς** φέρειν, Λατ. aegre ferre, Διον. Ἁλ. περὶ Θουκ. 41. Συγκρ. **-έστερον**, Πλάτ. Ἐπιστ. 327B. 2) ἐπὶ προσ., ἐπαχθὴς ἦν ἐς τοὺς πολλοὺς Θουκ. 6. 54, πρβλ. Πλάτ. Μένωνα 90D· κινδυνεύει τὸ λίαν εὐτυχεῖν .. ἐπαχθῶς ποιεῖν Δημ. 580.13, πρβλ. 17.

ἐπαχθίζομαι, παθ., φέρω βάρος, φορτώνομαι, ὑποζυγίων τρόπον ἐπηχθισμένους Φίλων 2. 450 κ. ἀλλ.·— «ἐπεχθισμένου (ἀντὶ ἐπηχθ-) βάρος βαστάζοντος» Ἡσύχ.

ἐπάχθομαι, ἄχθομαι ἐπί τινι, οὔθ' ἥδομαι τοῖσδ' οὔτ' ἐπάχθομαι Εὐρ. Ἱππ. 1260.

ἐπαχλύω: μέλλ. **-ύσω**, εἶμαι ἀμυδρὸς ἢ ἀσαφής, Ἀπολλ. Ῥόδ. Δ. 1480· καλύπτομαι ὑπὸ ἀχλύος, Κόϊντ. Σμ. 14. 462. **II.** μεταβ., ἐπισκοτίζω, Θεμίστ. 144C. [ῡ ἔτι καὶ ἐν τῷ ἐνεστ., Ἀπολλ. Ῥόδ. ἔνθ' ἀνωτ.: ἐν Ἀράτ. 906 ὁ Schneider. διορθοῖ **ἐπαχλύων** ἀντὶ **-ύόων**].

ἐπαχνίδιος, α, ον, (ἄχνη) ἐπικαθήμενος ὡς ἄχνη, ἐπαχνιδίαν ὡς ἀπέλουσε κόνιν Ἀνθ. Π. 9. 556.

ἐπάχνωσεν· «ἐλύπησεν, ἠνίασεν» Ἡσύχ., καὶ «ἐπαχνώθη· ἠνιάθη, ἐλυπήθη» ὁ αὐτ.·—ἴδε τὸ ῥῆμα **παχνόω**.

ἐπάχνῠμαι, ἄχνυμαι, λυποῦμαι ἐπί τινι, ἡμετέρησιν ἐπαχνυμένη θαλίῃσιν Τρυφιόδ. 424.

ἐπεάν, ἤτοι **ἐπεὶ ἄν**, Ἰων. ἀντὶ ἐπήν, ἴδε **ἐπεὶ** Δ. II.

ἐπέβδομος, ον, = **ἐφέβδομος**, Συγγρ. Μουσ.

ἐπέβρᾰχε, ἴδε **ἐπιβραχεῖν**.

ἐπεγγελάω: μέλλ. **-άσομαι**, γελῶ ἐπί τινι, περιγελῶ, ἐπισκώπτω, Λατ. irridere, φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν Σοφ. Αἶ. 989, Ξεν. Ἀν. 2. 4, 27· τί δῆτα τοὐδ' ἐπεγγελῷεν ἂν κάτα; Σοφ. Αἶ. 969 (ἔνθα ὁ Ἐλμσλ. τοὐδ' ἂν ἐγγελῷεν ἂν κάτα, ἴδε σημ. Jebb καὶ πρβλ. **ἐγγελάω**)· ἀπολ., αὐτόθι 454, Αἰσχίν. 52. 28.

ἐπέγγονος, ὁ, ὁ μετὰ τὸν ἔγγονον, δισέγγονος, Διατ. Ἰουστινιαν.

ἐπέγγρᾰφος, ον, προστεθεὶς εἰς τὸν κατάλογον: οἱ ἐπέγγραφοι ἐν Ἀττ. Ἐπιγρ. (Συλλ. Ἐπιγρ. 272B, 275-8, 281, 284-6) φαίνεται ὅτι εἶναι οἱ δεκτοὶ γινόμενοι εἰς τοὺς ἀγῶνας ἂν καὶ δὲν ὑπῆρχον ἐν τῷ καταλόγῳ τῶν πολιτῶν· οἱ πολῖται ἦσαν **πρωτέγγραφοι**, ἴδε Böckh. 1. σ. 379.

ἐπεγγύάω = ἐγγυάω, ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω Νόμ. παρὰ Λυσ. 117. 35.

ἐπέγγυος, διάφ. γρ. ἐν Πολυβ. Γ', 34, ἀντὶ **ὑπέγγυος**.

ἐπεγείρω, ἐξεγείρω, ἐξυπνίζω, μήπω τήνδ' ἐπέγειρε Ὀδ. Χ. 431, Ἡρόδ. 7. 139, Ἀριστοφ. Ὄρν. 83· μήθ' εὕδοντ' ἐπέγειρε Φερεκρ. ἐν «Χείρωνι» 3. 9:—Παθ., ἐξεγείρομαι, ἐγείρομαι ἐκ τοῦ ὕπνου, ἀφυπνίζομαι, Ὅμ. μόνον ἐν τοῖς τύποις **ἐπέγρετο**, **ἐπεγρόμενος** (οἵτινες πιθαν. ἐγένοντο ἐκ συντετμημένου ἀορ. **ἐπηγρόμην**. πρβλ. **ἔγρομαι**), Ἰλ. Κ. 124, Ξ. 256, Ὀδ. Υ. 57· φεύγετε .. ἀνδρ' ἐπεγειρόμενον Εὐρ. Ἡρ. Μαιν. 1084· δόξαι, αἳ ἐρωτήσει ἐπεγερθεῖσαι ἐπιστῆμαι γίγνονται Πλάτ. Μένων 86A· μετοχ. ἐνεργ. πρκμ. **ἐπεγρηγορώς**· ἐπὶ παθητ. σημασίας, ἔξυπνος, ἄγρυπνος, Πλουτ. Βροῦτ. 36, ἔνθα ἴδε Schäf. **II.** μεταφ., διεγείρω, ἐξεγείρω, στάσιν Σόλων 3.19· τὸ πάλαι κείμενον κακὸν .. ἐπεγείρειν Σοφ. Ο. Κ. 510· ἐν τμήσει, ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω θρῆνον ἐγείρετε αὐτόθι 1778· ὅσον ἐσμὸν λόγων ἐπεγείρετε Πλάτ. Πολ. 450B:—Παθ., **ἐπηγέρθη** [ἡ Ταλλυβίου μῆνις] Ἡρόδ. 7. 137· ἐπηγείροντο ταῖς ψυχαῖς Διόδ. 14. 52.

ἐπεγερμός, ὁ, ἐξέγερσις, Κλήμ. Ἀλ. I. 481B.

ἐπέγερσις, εως, ἡ, ἐξέγερσις ἐκ τοῦ ὕπνου, ἀφύπνισις, αἱ ταραχώδεις ἐπεγέρσιες Ἱππ. 76. 22.

ἐπεγερτέον, ῥημ. ἐπίθ. τοῦ **ἐπεγείρομαι**, δεῖ ἐπεγείρεσθαι, Κλήμ. Ἀλ. 219.

ἐπεγερτικός, ή, όν, ὁ ἐξεγείρων ἐκ τοῦ ὕπνου, Ἀριστ. Προβλ. 6. 5· διεγερτικός, μέλος τι τοῖς ἵπποις ὁρμῆς ἐπεγερτικὸν Πλούτ. 2. 138B.—Ἐπίρρ. **-κῶς**, δι' ἐξεγέρσεως, ἐπεγερτικῶς ἀπονυστακτέον Κλήμ. Ἀλ. I. 492C.

ἐπεγκάθημαι, ἐγκάθημαι ἐπί τινι, Εὐστ. Πονημάτ. 317. 24.

ἐπεγκᾰλέω: μέλλ. **-έσω**, φέρω κατηγορίαν κατά τινος, **τινι**, πάρεισι μὲν γὰρ οἷς ἐπεγκαλῶ Λυσ. 112. 17· καὶ μετὰ δοτ. καὶ αἰτ., τυραννίδα οἱ ἐπεγκαλέσας Προκοπ. Ἱστ. 18· οὐδεὶς ἡμῖν ἀδολεσχίαν ἐπεγκαλέσει Γρηγ. Νύσσ. τ. 1. σ. 334.

ἐπεγκᾰνάσσω, ἐπιχέω, «ἐπεγκενάξαι [—καν—]· ἐπεμπιεῖν. ἢ ἐπιχέαι» Ἡσύχ.

ἐπεγκάπτω, χάπτω, καταπίνω, ἐπέγκαψον λαβὼν ταδὶ Ἀριστοφ. Ἱππ. 493.

ἐπεγκᾰχάζω, καγχάζω, γελῶ μεγαλοφώνως ἐπί τινι, ἐπεγκαχάζων τοῦ δεδουπότος μόρῳ Λυκόφρ. 285.

ἐπέγκειμαι, ἔγκειμαι ἐπί τινος, Σχόλ. εἰς Ἰλ. Ω. 657.

ἐπεγκέλευμα, τό, τὸ ἐπεγκελεύειν, Ἡσύχ. ἐν λ. **ἐπίσιγμα**.

ἐπεγκελεύω, παρορμῶ, παρακινῶ, ἐπιθαρρύνω τινὰ εἴς τι ἔργον, ἀλλ' οὖν ἐπεγκέλευέ γ' .. ὡς εὐψυχίαν κτησώμεθα Εὐρ. Κύκλ. 652.

ἐπεγκεράννῦμαι, μέσ., ἐγκαταμιγνύω, τινί τι Πλάτ. Πολιτικ. 273D· ἐγκαταμιγνύω προσέτι, Πλούτ. 2. 1025B, Νικ. Ἀλεξιφ. 166, κ.τ.λ.

ἐπεγκλάω, στρέφω πρός τινα, τά τε βλέφαρα πρὸς τὸν Καίσαρα ἐπενέκλα καὶ ἐμμελῶς ἀνωλοφύρετο Δίων Κ. 51. 12· τοὺς ὀφθαλμοὺς ἐπεγκλάσας, προσβλέψας ἐρωτικῶς, ὁ αὐτ. 79. 16.—Καθ' Ἡσύχ. «ἐπεγκλάσας· τοῖς ὄμμασί πως διανεύσας».

ἐπέγκλημα, τό, κατηγορία, Σώπατρ. ἐν τοῖς Ῥήτορσι (Walz) τ. 5. σ. 209, 16.

ἐπεγκλίνω, ἐγκλίνω ἐπί τι, Γαλην. τ. 4. σ. 38. 15.

ἐπεγκολάπτω, ἐγχαράττω ἐπί τινος, Λυκόφρ. 782.

ἐπεγκοτέω, ὀργίζομαι, χολοῦμαί τινι, Νικήτ. Εὐγεν. 5. 219.

ἐπέγκρᾱνις, ιδος, ἡ, ὁ μικρὸς ἐγκέφαλος, ἡ παρεγκεφαλίς, Ἐρασίστρατ. παρὰ Γαληνῷ 5. 603.

ἐπεγκρεμάννῦμαι, Μέσ., κρεμῶ τι ἐπάνω εἴς τι, ἠέρι ξήρανον (τὰς σικύας), ἐπεγκρεμάσαιο δὲ καπνῷ Νίκανδρ. παρ' Ἀθην. 372E.

ἐπεγκυκλέω, παρενείρω, παρεντίθημι, καὶ ὁ λόγος ἐκ τῶν ἐπεγκυκλουμένων ἀσφαλὴς φαίνεται Ἀριστείδ. 2. 514.

ἐπεγκῠλίομαι [ῐ] = **ἐγκυλίομαι**, κυλίομαι ἔν τινι, συστελλόμενος δὲ ἐφ' οἷς ἐπεγκυλίεται τῇ τοῦ βίου ἀνάγκῃ Κλήμ. Ἀλ. 877.

ἐπεγκύπτω = ἐγκύπτω, ἐπεγκύπτειν τοῖς .. βιβλίοις Θ. Μετοχ. ἐν Μεσ. Βιβλ. Σάθα τ. Α', σ. πϛ'.

ἐπεγρόμην, μετοχ. **ἐπεγρόμενος**, Ἐπικ. ἀόρ. παθ. τοῦ **ἐπεγείρω**.

ἐπεγκύρω, ἐμπίπτω, ἐντυγχάνω, λέων μεγάλῳ ἐπεγκύρσας θηράματι, ὡς τὸ Ὁμηρικὸν ἐπικύρσας, Νικήτ. Ἀλεξ. σ. 166A.

ἐπεγχαίνω, περιγελῶ, καταγελῶ τινα διὰ μορφασμῶν, Αἰλ. παρὰ Σουίδ., Φρύν. παρὰ Φωτίῳ § 158.

ἐπεγχᾰλάω: μέλλ. **-άσω** [ᾰ], χαλαρώνω, Νικ. Ἀλεξιφ. 439.

ἐπεγχειρέω καὶ **ἐπεγχείρησις, εως**, ἡ, = **ἐγχ-**.

ἐπεγχέω: μέλλ. **-χεῶ**, ποιητ. **-χεύω**, Νίκ. παρ' Ἀθην. 372F· — ἐγχέω ἐπὶ ἢ προσέτι, Αἰσχύλ. Ἀγ. 1137, Ἱππ. 532, 23, κτλ.· ἐπεγχέων ἄλλην ἐπ' ἄλλῃ [κύλικα] Εὐρ. Κύκλ. 423.

ἐπεγ-χρίμπτω ἢ **ἐπεγχρίπτω**, ἐφορμῶ, Νικήτ. Ἀλ. Πόλ. 395D.

ἐπέγχυμα, τό, = ἔγχυμα, Μεταγεν.

ἐπεγχῠμᾰτίζω: μέλλ. -ίσω, = **ἐγχυματίζω**, χύνω ἐντός, Ἱππιατρ. 74. 19· προσέτι ἐγχυματίζω, δεῖ δὲ ἐπεγχυματίζειν γάλακτι Διοσκ. 5. 23.

ἐπεγχύνω, μεταγεν. τύπος ἀντὶ **ἐπεγχέω**, Ἥρων ἐν Ἀρχ. Μαθημ. σ.116.

ἐπεγχύτης [ῠ]; **ου**, ὁ οἰνοχόος, οὕτω καλούμενος παρὰ τοῖς Ἑλλησποντίοις, Δημήτριος ὁ Σκήψιος παρ' Ἀθην. 425C.

ἐπέδρᾰμον, ἴδε τὸ ῥῆμα **ἐπιτρέχω**.

ἐπέδρη, ἡ, Ἰων. ἀντὶ **ἐφέδρα**.

ἐπεζάρηκεν· «ἐπεβάρυνεν» Ἡσύχ.— **ἐπεζάρει** (Εὐρ. Ῥῆσ. 441, Φοίν. 45)· ἐπεβάρει. ἐπέκειτο. ἐπεκράτει».

ἐπέην, Ἐπικ. ἀντὶ **ἐπῆν**, γ' ἑν. τοῦ παρατ. τοῦ **ἔπειμι (εἰμί)**, Ἰλ. Υ. 276.

ἐπεθίαζεν· «ἐχόρευεν: ἐθαύμαζεν ὡς θεὸν (ἐπεθείαζεν)» Ἡσύχ.

ἐπεθίζομαι, συνήθιζω εἴς τι, Ἀρισ:οξ. σ. 33 Meib.

ἐπεὶ (κατὰ τὸν Κούρτιον ἀριθμ. 335, ἐπίρρημ. χρῆσις τῆς **ἐπί**). [Ἡ πρώτη συλλαβὴ ἐνίοτε ἐκτείνεται ἐν ἀρχῇ στίχου παρ' Ὁμ., Ἰλ. Χ. 379, Ὀδ. Δ. 13, Θ. 452, Φ. 25: — τὸ **ἐπεὶ** ἐνίοτε ἐν τῇ ποιήσει συνιζάνεται, δηλ. συνεκφωνεῖται μετὰ τῶν **οὐ**, **οὐδέ**, **οὐδέν**, **οὔτε**, Σοφ. Φιλ. 446, 948, 1037, Ἀντ. 538, Ἀριστοφ. Λυσ. 573]. Σύνδεσμος χρονικός τε καὶ αἰτιολογικὸς (πρβλ. Λατ. quum): — τὸ **ἐπειδὴ** καὶ παρ' Ἡροδ. τὸ **ἔπειτε** (ἢ **ἐπεί τε**) εἶναι ἐν χρήσει ὡς τὸ **ἐπεί**.

Α. ΧΡΟΝΙΚΟΣ, μετὰ ταῦτα, κατόπιν (postaquam), ἀφοῦ, ὅτε (quum, cum), ἀπὸ τοῦ Ὁμήρου καὶ ἐφεξῆς: **I.** μεθ' ὁριστ. **1)** ἐπὶ ὡρισμένου γεγονότος ἐν τῷ παρελθόντι, ὡς ἐπὶ τὸ πλεῖστον μετ' ἀόρ., ἐπεὶ ῥ' εὔξαιτο καὶ οὐλοχύτας προβάλοντο, ἀφοῦ προσηυχήθησαν, κτλ., Ἰλ. Α. 458· ἐπειδὴ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, ἀφοῦ δὲ ἀπέθανεν ὁ Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν ὁ Ἀρταξέρξης, Ξεν. Ἀν. 1.1, 3· σπανίως μετὰ παρατ., ἐπεὶ εἰσεβάλλομεν Εὐρ. Ι. Τ. 260· μεθ' ὑπερσ., ἐπειδὴ ἐξηπάτησθε Δημ. 242. 6· ἀλλ' ἐν γένει εὕρηται ἀόριστος ἐκεῖ ὅπου ἠδύνατο νὰ τεθῇ ὑπερσυντέλ. πρὸς μείζονα ἔμφασιν (ἴδε ἀνωτ.), ὡς ἐν τῇ Λατ. τὸ postaquam venit εἶναι συνηθέστερον τοῦ postaquam venerat (πρβλ. II. κατωτ.)· μετὰ παρατ., ὅπως ἐκφράσῃ πρᾶξιν μήπω συντελεσθεῖσαν, ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ καὶ ἡ σάλπιγξ ἐφθέγξατο, ἀφοῦ ἡ φάλαγξ ἤρχισε νὰ προχωρῇ καὶ ἡ σάλπιγξ ἐσάλπισε, Ξεν. Ἀν. 6. 5, 27. **2)** μεθ' ὑπονοουμένης ἀναφορᾶς πρὸς μεταγενέστερον χρόνον τὸ **ἐπεὶ** ἢ **ἐπειδὴ** = **ἐξ οὗ**, δηλαδὴ ἀφ' ὅτου, τίθεται κατὰ τὸ πλεῖστον μετ' ἀόρ., ἔπειτε παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντιζον, ἀφ' ὅτου παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντιζον, Ἡρόδ. 7. 8· δέκατον μὲν ἔτος τόδ' ἐπεὶ.. ἦραν Αἰσχύλ. Ἀγ. 40· ἐνίοτε μετ' ἐνεστ. (λαμβάνοντος σημασ. πρκμ.) καὶ πρκμ., ἐπεὶ δὲ φρουδός ἐστι στρατός, ἀφοῦ ὁ στρατὸς ἔχει ἀπέλθει, Σοφ. Ἀντ. 15· ἐπεί τε ὑπὸ τῷ Πέρσῃ εἰσί, πεπόνθασι τοιόνδε, ἀφ' ὅτου εἶνε ὑπὸ.., τώρα ὅτε διατελοῦσιν ὑπὸ.., Ἡρόδ. 3. 117. **II.** μεθ' ὑποτακτ., προστιθεμένου ἀείποτε ἐν τῷ Ἀττ. πεζῷ λόγῳ τοῦ **ἄν**, ἐν δὲ τῇ ποιήσει ἐν γένει τοῦ **ἂν** ἢ (Ἐπικ.) τοῦ **κε**: τὸ δὲ **ἐπεὶ** μετὰ τοῦ **ἂν** γίνεται **ἐπάν**, **ἐπὴν** (Ἡρόδ. **ἐπεάν**), καὶ τὸ **ἐπειδὴ** μετὰ τοῦ **ἄν**, **ἐπειδάν**· ὁ Ὅμ. ἔχει **ἐπεί κε**, **ἐπὴν** (ἅπαξ **ἐπεὶ ἄν**)· οἱ ποιηταὶ ἐνίοτε παραλείπουσι τὸ **ἂν** ἢ τὸ **κε** (πρβλ. **ἂν** Α. Ι. 2): — μετὰ ὑποθετικῆς δυνάμεως (πρβλ. **εἰ** Α. 11): **1)** ἐν σχέσει πρὸς τὸ μέλλον (ὡς τὸ **ἐὰν** μεθ' ὑποτ.) μετ' ἀποδόσεως κατὰ μέλλοντα, τέκνα ἄξομεν.., ἐπὴν πτολίεθρον ἕλωμεν, ἀφοῦ κυριεύσωμεν τὴν πόλιν, Ἰλ. Δ. 238· ἤ τέ μιν οἴω πολλὰ μετακλαύσεσθαι ἐπεί κ' ἀπὸ λαὸς ὄληται Λ. 764, πρβλ. Ὀδ. Ρ. 23· ταῦτα, ἐπειδὰν περὶ τοῦ γένους εἴπω, ἐρῶ Δημ. 1303. 25, πρβλ. Ξεν. Ἀν. 2. 3, 29· οὐ γὰρ ἔτ' ἄλλη ἔσται θαλπωρή, ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς Ἰλ. Ζ. 412. **2)** ἐν σχέσει ἐν γένει πρὸς μίαν τινὰ ἐκ πολλῶν περιπτώσεων, μετ' ἀποδόσεως ἐνεστῶτος χρόνου, ἀλλὰ τὰ μέν τε πυρὸς.. μένος δαμνᾷ, ἐπεί κε λίπῃ λεύκ' ὀστέα θυμὸς Ὀδ. Λ. 221, πρβλ. Ἰλ. Ι. 409· ἐπειδὰν ἡ ἐκφορὰ ᾖ, .. ἄγουσι Θουκ. 2. 34· ἐπειδὰν κρύψωσι γῇ, .. λέγει αὐτόθι: (ἄνευ τοῦ **ἂν** ἢ τοῦ **κε** παρὰ ποιηταῖς, ἐπεὶ ἀμφικαλύψῃ Ὀδ. Υ. 86, Ἰλ. Λ. 478, Σοφ. Ο. Κ. 1226, Ἀντ. 1025)· ἀόρ. ὑποτακτ. μετὰ τοῦ **ἐπὴν** κτλ. ἀναφέρεται ἕνεκα τῆς ἐννοίας τοῦ μορίου (ἐν γένει μετὰ τοῦτο) ὡς σημεῖον χρόνου προγενέστερον τοῦ ἐκφραζομένου διὰ τοῦ κυρίου ῥήματος, ἴδε τὰ ἀνωτέρω παραδείγματα καὶ τὸ ἑξῆς τοῦ Δημ. (525.11), χρὴ δέ, ὅταν μὲν τιθῆσθε τοὺς νόμους, .. σκοπεῖν, ἐπειδὰν δὲ θῆσθε, φυλάττειν. **III.** μετ' εὐκτ. (ἄνευ τοῦ **ἄν**), **1)** ἀναφερόμενον εἰς μέλλοντα χρόνον (ὡς τὸ **εἰ** μετ' εὐκτ.), ἐπειδὴ πρὸς τὸ φῶς ἔλθοι, ὁρᾶν οὐδ' ἂν ἓν δύνασθαι (ἐξυπ. οὐκ οἴει), ἀφοῦ ἔλθῃ εἰς τὸ φῶς.., Πλάτ. Πολ. 516Α· ὁ Ὅμ. ἐνίοτε μεταχειρίζεται τὸ **ἐπὴν** μετ' εὐκτικῆς ταυτοσήμως τῷ **ἐπεί**, Ἰλ. Τ. 208, Ω. 226, Ὀδ. Δ. 222 (ὅρα **ἂν** Α. II). **2)** συχνότερον ἀναφέρεται καθόλου εἰς μίαν τινὰ ἐκ πολλῶν ἐν τῷ παρελθόντι περιστάσεων (ὡς τὸ **εἰ** μετ' εὐκτ. ἐν γεν. ὑποθέσει), μετὰ παρατ. ἐν τῇ ἀποδόσει, ἐπεὶ ζεύξειεν.., δησάσκετο Ἰλ. Ω. 14· ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο Ξεν. Ἀν. 4. 5, 8· ἐπεὶ πύθοιτο, ἐπῄνει ὁ αὐτ. ἐν Κύρ. 5. 3, 55, πρβλ. Θουκ. 8. 38, Πλάτ. Φαίδωνα 59D, Πρωτ. 315Β. **3)** ἐν πλαγίῳ λόγῳ παρῳχημένου χρόνου ἡγουμένου, ὅτε ἀντιστοιχεῖ πρὸς ὑποτακτικὴν ἐν εὐθεῖ λόγῳ, αὐτὸς δὲ ἐπεὶ διαβαίης, ἀπιέναι ἔφησθα (ὁ εὐθὺς λόγος εἶναι ἐπὴν διαβῶ) Ξεν. Ἀν. 7. 2, 27, πρβλ. 3. 5, 18, Κύρ. 1. 4, 21· ἐξαρτώμενον ἐξ εὐκτικῆς ἐν τελικῇ προτάσει, ἐπορεύοντο, ὅπως, ἐπειδὴ γένοιντο ἐπὶ τῷ ποταμῷ.. ἴοιεν Θουκ. 7. 80. **IV.** μετ' ἀπαρ. μόνον κατ' ἀφομοίωσιν ἐν πλαγίῳ λόγῳ, ἐπειδὴ δὲ κατὰ σχολὴν σκέψασθαι, κόπτεσθαι (ἐξυπ. ἔφη) Πλάτ. Πολ. 619C, πρβλ. Συμπ. 174D, Ἡρόδ. 4.10., 7.150 (πρβλ. **εἰ** Α. IV). **V.** μετ' ἄλλων λέξεων, **1)** ἐπεὶ τάχιστα, εὐθὺς ὡς, Λατ. quum primum, μετὰ τὸ πλεῖστον χωριζόμενον δι' ἄλλης λέξεως, ἐπεὶ ἦλθε τάχιστα, .. ἀπέδοτο Ξεν. Ἀν. 7. 2, 6, πρβλ. Κύρ. 3. 3, 22· οὕτως, ἐπεὶ θᾶττον Ἀριστ. Πολιτικ. 3. 13, 19· ἐπεὶ εὐθέως Ξεν. Ἑλλην. 3. 2, 4· ἐπεὶ αὐτίκα Πίνδ. Ν. 1. 53· ἐπειδὴ τάχιστα Πλάτ. Πρωτ. 310D, Δημ. 818. 21· ἐπειδὰν τάχιστα Ἡρόδ. 8. 144, Ξεν. Ἀν. 3.1, 9· σπανίως ἐπειδὴ θᾶττον Δημ. 978.19· ἐπειδὰν θᾶττον Πλάτ. Πρωτ. 325C. **2)** μετὰ ποικίλων ἐμφατικῶν μορίων, ἐπεὶ ἄρα, ἀφοῦ λοιπόν, Ἰλ. Ζ. 426· ἐπεὶ οὖν, ἀφοῦ λοιπόν, ἐπὶ συνεχίσεως διηγήσεως, Α. 57, Γ. 4· ἐπεὶ ὦν Ἡρόδ. 3. 9· ἐπεὶ γὰρ δὴ ὁ αὐτὸς 9. 90, κτλ.—Πρβλ. Κόντου Γλωσσ. Παρατηρ. σ.168 κἑξ.

Β. ΑΙΤΙΟΛΟΓΙΚΟΣ, ἀφοῦ, ἐπειδή, συχν. ἀπὸ τοῦ Ὁμ. καὶ ἐφεξῆς: **1)** μεθ' ὁριστ. (ἡγουμένου εἴτε ἐνεστῶτος εἴτε παρῳχημένου χρόνου), ἐπεὶ οὐδὲ ἔοικε Ἰλ. Α. 119, πρβλ. 153, 278, Αἰσχύλ. Ἀγ. 827, Ξεν. Ἀπομν. 2. 3, 4, Θουκ. 8. 68, 80· ἐνίοτε μετ' εὐκτικῆς, παρῳχημένου χρόνου ἡγουμένου, ὡς ἐπὶ πλαγίων λόγων, ἐπείπερ ἡγήσαιντο, ἀφοῦ (ὡς ἔλεγον) ἐνόμιζον.., Ξεν. Ἀπομν. 1..4,19. **2)** ὡσαύτως κατὰ τὰς συνήθεις συντάξεις τῶν ἀνεξαρτήτων προτάσεων, οἷον ὁριστ. ἢ εὐκτ. μετὰ τοῦ **ἂν** ἐν ἀποδ., ἐπεὶ οὔποτ' ἂν στόλον ἐπλεύσατ' ἂν Σοφ. Φιλ. 1037· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη Ἰλ. Ο. 228, πρβλ. Δημ. 242.10· ἐπεὶ ἂν μάλα ἔλθοι Ἰλ. Ι. 304, Σοφ. Αἴ. 916· μετὰ προστ., ἐπεὶ δίδαξον, διότι εἰπέ μοι, Σοφ. Ἠλ. 352, πρβλ. Ο. Τ. 390, Ο. Κ. 969, Ἀριστοφ. Σφ.73, Πλάτ. Γοργ. 573Ε· — μετ' ἐρωτηματ. προτάσεως, ἐπεὶ πῶς ἂν καλέσειας; διότι πῶς ἤθελες καλέσει αὐτόν, Ἀριστοφ. Νεφ. 688, πρβλ. Αἰσχύλ. Χο. 214, Σοφ. Τρ.139. **3)** μετ' ἀπαρ., ἐν πλαγίῳ λόγῳ, ἐπεὶ γιγνώσκειν γε αὐτὰ Πλάτ. Πρωτ. 353Α, πρβλ. Ἡρόδ. 5. 84. **4)** ἐν ποικίλαις ἐλλειπτικαῖς φράσεσιν, ὡς ἀδύνατος [εἰμι], ἐπεὶ ἐβουλόμην ἂν οἷός τ' εἶναι, εἶμαι ἀνίκανος (καὶ ὅμως λυποῦμαι), διότι ἐπεθύμουν νὰ εἶχον τὴν ἱκανότητα, Πλάτ. Πρωτ. 335C· οὕτως, εἶμι· ἐπεὶ καὶ ταῦτ' ἂν ἴσως οὐκ ἀηδῶς σου ἤκουον αὐτόθι· ἐνταῦθα καθόλου δύναται νὰ ἑρμηνευθῇ διὰ τοῦ **καίπερ**, **καίτοι**, πρβλ. Πρωτ. 333C, 353Α, Ἀπολογ. 19Ε, Συμπ. 187Α, Ἀριστ. Ἠθ. Νικ. 4. 1, 30· — ἐνίοτε μετὰ κλητ. πτῶσιν δύναται νὰ ὑπονοηθῇ ὡς ἀπόδοσις τοῦ **ἐπεὶ** τὸ **ἄκουσον** ἢ τὸ **λέξω σοι** ἢ τοιοῦτόν τι, Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας, οὐδ' ὑπὲρ αἶσαν Ἰλ. Γ. 59, πρβλ. Ν. 68, Ὀδ. Γ.103, 291, κτλ. **5)** ἐνίοτε ἐπεξηγηματικῶς, κατὰ τὴν ἔναρξιν διηγήσεως (πρβλ. **γὰρ** II), ἐπεὶ ὅ γε ἀποθανὼν πελάτης τις ἦν ἐμός, λοιπὸν ὁ φονευθεὶς ἦτο.., Πλάτ. Εὐθύφρων 4C. **6)** μετ' ἄλλων μορίων, ἐπεὶ ἄρα, ἐπεὶ ἄρ δή, ἀφοῦ λοιπόν, Ὀδ. Ρ. 185· ἐπεί γε, ἐμφαντικώτερον τοῦ **ἐπεὶ** (πρβλ. τὸ Λατ. quandoquidem καὶ quando, ἀφοῦ τῷ ὄντι, καὶ ἐπειδή γε Εὐρ. Ἱππ. 946, 955, Κύκλ.181· ἐνίοτε παρεμβάλλεται λέξις μεταξὺ αὐτοῦ καὶ τοῦ μορίου, ἐπεὶ οἵ γε πολλοὶ Πλάτ. Πρωτ. 317Α, πρβλ. Ἰλ. Α. 352, Ἡσ. Θ. 171· ἐπεὶ γε δὴ Ἡρόδ. 3. 9, Σοφ. Ἀντ. 923· ἐπειδή γε καὶ Θουκ. 6.18· ἐπεὶ ἦ, ἐπειδὴ τῷ ὄντι, ἐπεὶ ἦ μάλα πολλὰ μεταξύ, οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα Ἰλ. Α.156· ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν Ὀδ. Ι. 276· **ἐπείπερ** ἢ **ἐπειδήπερ** (ἐμφαντικῶς) Αἰσχύλ. Ἀγ. 822, Σοφ. Ο. Κ. 75, Ἀριστοφ. Ἀχ. 437, 494, Νεφ. 1412, Θουκ. 6. 18, Πλάτ. Πολ. 350Ε· παρ' Ὁμ. κεχωρισμένον, ἐπεὶ σύ περ εὔχεαι οὕτω Ἰλ. Ν. 447· ἐπεὶ σύ περ οὐ κατὰ κόσμον Ὀδ. Υ. 181· ἐπεί τοι, ἀφοῦ τῇ ἀληθείᾳ, Σοφ. Ο. Κ. 433· ἐπεὶ νύ τοι Ἰλ. Δ. 416· ἐπεί τοι καὶ Εὐρ. Μηδ. 677 (ἔνθα ἴδε Πόρσ. 675), Πλάτ. Πολ. 566Ε.

ἐπειγμένως, ἀντὶ **ἠπειγμένως**, ἐν σπουδῇ, Σουΐδ. ἐν λέξει **ἐπιτροχάδην**.

ἐπείγω, Ὅμ., κλ., Αἰολ. **ἐποίγω**, «οἱ γὰρ Αἰολεῖς τὴν **ει** δίφθογγον εἰς **οι** τρέπουσι», Ἀνέκδ. Κραμήρου τόμ. 1, σ. 29, 1: παρατ. **ἤπειγον** Πινδ. Ο. 8. 62, Σοφ., Ἐπικ. **ἔπειγον** Ὅμ.: ἀόρ. **ἤπειξα** Ἱππ. Ἐπιστ. 1276. 27, Πλούτ., κλ.: — Μέσ. καὶ Παθ., Ὅμ., κλ. (ἴδε κατωτ.): μέσ. μέλλ. **ἐπείξομαι** Αἰσχύλ. Ικ. 52: ἀόρ. **ἠπείχθην** Θουκ. 1. 80, Πλάτ. Νόμοι 887· πρκμ. **ἤπειγμαι** Ἀριστείδ. 404, Γαλην.—Τὸ σύνθ. **κατεπείγω** εἶναι συχνότερον ἐν τῷ Ἀττ. πεζῷ λόγῳ. Πιέζω διὰ τοῦ βάρους μου, βαρῶ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει Ἰλ. Μ 452. Παθ., καταπονοῦμαι, ἐπείγετο γὰρ βελέεσσιν Ἰλ. Ε. 622· οἱ δέ τε θά-

μνοι πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ, «καὶ οἱ θάμνοι σὺν αὐταῖς ῥίζαις καταπίπτουσι, βιαζόμενοι τῇ τοῦ πυρὸς ὁρμῇ» (Θ. Γαζῆς), Λ. 157, πρβλ. Φ. 362. **2)** πιέζω, στενοχωρῶ, ἐπείγω (διώκων), ἐπισπεύδω, Λατ. instare, urgere, ἀναγκαίη γὰρ ἐπείγει Ἰλ. Ζ. 85, Ὀδ. Τ. 73· καὶ μετ' αἰτ., δύω κύνε.. κεμάδ' ἠὲ λαγωὸν ἐπείγετον Ἰλ. Κ. 361· οὐδεὶς ἡμᾶς ἐπείγων διώκει Πλάτ. Νόμοι 887Β. **II.** ἐπισπεύδω τι, κάμνω αὐτὸ νὰ προχωρῇ, ἔσχετο δ' αὐτοῦ νηῦς, ἐπεὶ οὐκέτ' ἐρετμὰ.. χερσὶν ἔπειγον Ὀδ. Μ. 205· συχνάκις ἐπὶ οὐρίου ἀνέμου, ἔπειγε γὰρ οὖρος ἀπήμων Μ. 167· ὁππότ' ἐπείγῃ ἴς ἀνέμου Ἰλ. Ο. 382· καιρὸς καὶ πλοῦς ὅδ' ἐπείγει κατὰ πρύμναν Σοφ. Φιλ. 1451. **III.** καθόλου, ἐπιταχύνω, ἐπισπεύδω τι, Λατ. properare, ἐπείγετε δ' ὦνον ὁδαίων, «ἐπισπεύδετε δὲ τὴν τῶν ἐφοδίων ἐξώνησιν» (Σχόλ.), Ὀδ. Ο. 445· τὸν οἰκαδ' ἤπειγον στόλον, ἐπέσπευδον τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, Σοφ. Φιλ. 499· ἐπείγει γάρ με τοὐκ θεοῦ παρὸν ὁ αὐτ. ἐν Ο. Κ. 1540 — Παθ., ἐπὶ πλοίου, τοῖον γὰρ ἐπείγετο χέρσ' ἐρετάων Ὀδ. Ν. 115· ἐπειγομένη Διὸς οὔρῳ Ο. 297, πρβλ. Εὐρ. Ι. Τ. 1393, Θουκ. 3. 49. **2)** Μέσ., ἐπισπεύδω τι δι' ἐμαυτόν, μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, περιμένετε καίπερ ἐπειγόμενοι, κτλ., Ὀδ. Β. 97, Τ. 142· οὕτω, τὴν παρασκευήν, τὸν πλοῦν ἐπείγεσθαι Θουκ. 3. 2., 4. 5 κ. ἀλλ.· καὶ ἀπολ., ἐπειγομένων ἀνέμων, «ἀντὶ τοῦ ἐπειγόντων, καὶ συνεχῶς καὶ μετὰ βίας πνεόντων» (Σχόλ.), Ἰλ. Ε. 501· ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν, ὡς δ' ὅτε ὁ ὀπὸς τῆς συκῆς διὰ τῆς δυνάμεώς του ἔκαμε τὸ γάλα νὰ πήξῃ, αὐτόθι 902. **3)** ἐπείγομαι, σπουδάζω, σπεύδω, μή τις πρὶν ἐπείγεσθω οἶκόν δε νέεσθαι, πρίν τινα, κτλ., Ἰλ. Β. 354, πρβλ. Ἡσ. Ἀσπ. Ἡρ. 21, Ἡρόδ. 8. 68, Θουκ. 8. 46, κτλ.:— ἀπολύτως, ἐπείγεσθω δὲ καὶ αὐτὸς Ἰλ. Ζ. 363· ὧραι ἐπειγόμεναι Πινδ. Ν. 4. 55· καὶ συχν. παρ' Ἡροδ. καὶ Ἀττ., παθ. ἐπειχθῆναι Ἡρόδ. 7. 10· μέσ., δρόμῳ ἐπειγομένους ὁ αὐτὸς 6. 112· νυκτὸς ἅμ' ἐπάγεται Αἰσχύλ. Χο. 660· δεῦρ' ἐπείγονται Εὐρ. Ἴων 1258· ὥσπερ τι δεινὸν ἀγγελεῖν ἐπ. Ἀριστοφ. Ἀχ. 1070· οὐ τῶν ἐπειγομένων, ἀλλὰ τῶν εὖ βουλευομένων Ἀντιφῶν 141. 36, πρβλ. Θουκ. 8. 82· ἐπείγεσθαι ἐπὶ.. Ἡρόδ. 4. 135· εἰς ἢ πρὸς.. Εὐρ. Φοίν. 1171, Θουκ. 6. 101· ἠπείγετο οἴκαδε Πλάτ. Θεαίτ. 142C, κτλ.:— παρ' Ὁμ. τὸ πλεῖστον κατὰ μετοχ. καὶ ὡς Ἐπίρρ. μετὰ ῥημάτων, ἡ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει, σπεύδουσα ἀφικνεῖται πρὸς τὸ τεῖχος, Ἰλ. Ζ. 388· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσσυτ' ἐπειγομένη, «ἡ ψυχὴ δὲ κατὰ τὴν ἐκ τῆς τρώσεως πληγὴν ὥρμησε σπεύδουσα» (Θ. Γαζῆς), Ξ. 519· δρῦς.. τέμνον ἐπειγόμενοι Ψ. 119, κτλ.· οὕτω παρ' Ἀττ., ἥει ἐπειγόμενος Πλάτ. Πρωτ. 310Β. **6)** ἐφίεμαι, ἐπιθυμῶ, μετ' ἀπαρ., πρὸς ἠέλιον κεφαλὴν τρέπε.. δῦναι ἐπειγόμενος, ἐπιθυμῶν ἀνυπομόνως τὴν δύσιν αὐτοῦ, Ὀδ. Ν. 30, πρβλ. Αἰσχύλ. Πρ. 52· ὡσαύτως μετὰ γεν., ἐπειγόμενός περ ὁδοῖο Ὀδ. Α. 309, κτλ.· Ἄρηος ἐπειγόμενος, ἀνυπομόνως ἐπιθυμῶν, περιμένων τὴν μάχην, Ἰλ. Τ. 142· ἐπειγόμενος περὶ νίκης Χ. 437, 496. **IV.** ἀμεταβ. ἐν τῷ ἐνεργ. τύπῳ, ἤπειγεν, «τουτέστιν ἔσπευδεν» (Σχόλ.), Πινδ. Ο. 8. 62· ἡ νοεῖς ἐπείγε νυν Σοφ. Ἠλ. 1435, Εὐρ., Ἀριστοφ., κλ.· τῆς ὥρας ἐπειγούσης Πλουτ. 2. 108F, κτλ. **2)** ἀπροσ., οὐδὲν ἐπείγει, δὲν ὑπάρχει βία, Λογγῖνος (Troup.) 43. 6. **3)** τὰ ἐπείγοντα, τὰ κατεπείγοντα πράγματα, Πλουτ. Σερτώρ. 3.

ἐπειγωλή, ἡ, «ἡ σπουδή, ἀπὸ τοῦ ἐπείγεσθαι» Ἐτυμ. Μ. 356. 34. Καθ' Ἡσύχ. «ἐπειγωλὴ καὶ ἔπειξις· ἡ σπουδή».

ἐπειδάν, ὅ ἐ. **ἐπειδὴ ἄν** (ἴδε **ἐπεὶ** Α. II., **ἄν** Α. I. 2), μεθ' ὑποτακτ. καὶ ἑπομένως μόνον ἐπὶ χρόνου. **2)** αἱ μετ' εὐκτ. χρήσεις ἐν τοῖς δοκίμοις συγγραφεῦσι διωρθώθησαν ἤδη ἐξ ἀντιγράφων, ἴδε Ξεν. Κύρ. 1. 3, 11, Δημ. 865. 23· ἀλλὰ παρὰ τοῖς μεταγ. εὑρηται ὅπου παρὰ τοῖς δοκίμοις Ἀττ. θὰ ὑπῆρχεν **ἐπειδὴ** ἢ **ἐπειδὰν** μεθ' ὑποτακτ., ὡς παρ' Ἀγαθίᾳ, κλ.

ἐπειδεί (= **ἐπειδή**) Ἐπιγρ. Κραννωνίων Θεσσαλ. Cau. 100. 101.

ἐπειδὴ ἢ **ἐπεὶ δὴ** (ὡς γράφεται νῦν παρ' Ὁμ.) ἐντονώτερος τύπος τοῦ **ἐπεί**, ἴδε ἐν λ. **ἐπεί**.

ἐπεῖδον, ἀπαρ. **ἐπιδεῖν**, ἀόρ. 6' ἄνευ εὐχρήστου ἐνεστ., ἀνθ' οὗ εἶναι ἐν χρήσει τὸ **ἐφοράω**, θεῶμαι, βλέπω, κακὰ πόλλ' ἐπιδόντ' Ἰλ. Χ. 61· ὡσαύτως ἐν τῷ Μέσ. τύπῳ, ἐπιδόμενοι Αἰσχύλ. Ἱκ. 648· ἐπιδέσθαι Εὐρ. Μήδ. 1414· ἐπιδώμεθα Ἀριστοφ. Νεφ. 289. **2)** ἰδίως ἐπὶ τῶν θεῶν, ἐπιβλέπω τὰ ἀνθρώπινα πράγματα, Ζεὺς ἐπίδοι προφρόνως στόλον Αἰσχύλ. Ἱκ. 1, πρβλ. 145, 1031· τὼς νιν Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων ὁ αὐτὸς ἐν Ἑπτ. ἐπὶ Θήβ. 485, πρβλ. **ἐφοράω**. **3)** ζῶ ἕως οὗ ἴδω τι, ἐπιδόντα δὲ τὸν Ἀριστόδημον τὰ τέκνα, νούσῳ τελευτᾶν Ἡρόδ. 6. 52· πῶς οὐκ ἄξιον.. τούτοις ἐγχειρεῖν, ἵνα ἔτι ἐφ' ἡμῶν ἐπίδωμεν τὴν πόλιν μετ' ἀσφαλείας εὐδαιμονοῦσαν; Ξεν. Πόροι 6. 1, Tacit. Agric. ἐν τέλει: ἔχω τὴν κακὴν τύχην νὰ ἴδω, νὰ ὑποστῶ, πάντα τὰ χαλεπώτατα ἐπιδόντες.. ὑβριζομένους ἀποθανεῖν Ξεν. Ἀν. 3. 1, 13· εὔχομαι, πρὶν ταῦτα ἐπιδεῖν ὑφ' ὑμῶν γενόμενα, μυρίας ἐμέ γε κατὰ γῆς ὀργυιὰς γενέσθαι αὐτόθι 7. 1, 30· προστιθεμένης μετοχῆς, μηδ' ἐπίδοιμι τάνδ' ἀστυδρομουμένην πόλιν, μηδὲ νὰ ζήσω νὰ ἴδω τὴν πόλιν ταύτην περιτρεχομένην ὑπὸ τῶν προσπαθούντων νὰ σωθῶσι πολιτῶν, Αἰσχύλ. Θήβ. 220, πρβλ. Ἀγ. 1539· ἐπιδεῖν ἐρήμην τὴν πόλιν γενομένην Ἰσοκρ. 60D· τὴν πατρίδα ἐπιδεῖν δουλεύουσαν Δημ. 296. 20· αὐτὸς λωβηθεὶς καὶ τοὺς παῖδας ἐπιδὼν [λωβηθέντας] Πλάτ. Γοργ. 473C.

ἐπεὶ ἦ (ἄλλοτε ἐγράφετο **ἐπειή**, ἀλλ' ἴδε Spitzn. ἐν Ἰλ. Α. 156), ἐπειδὴ τῷ ὄντι, ἐπειδὴ ἀληθῶς, Ἰλ. Α. 156, 169, Δ. 56, κτλ.· ἀείποτε ἐν τῇ ἀποδόσει καὶ σχεδὸν πάντοτε ἐν ταῖς φράσεσιν· ἐπεὶ ἦ πολὺ φέρτερός ἐστι ἢ ἐσσί, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν, κτλ. [ἐπεὶ ἦ παρ' Ὁμ.]

ἐπεικάδες, ων, αἱ, (εἰκὰς) αἱ ἡμέραι αἱ μεταξὺ τῆς 20 καὶ τοῦ τέλους τοῦ μηνός, «ἀποφράδας.. τὰς ἀπηγορευμένας ἡμέρας.. ἃς δὴ καὶ ἐπεικάδας καλοῦσι φθίνοντος τοῦ μηνὸς» κτλ., Ἐτυμ. Μ. 131. 15· πρβλ. **εἰκάς**.

ἐπεικάζω, εἰκάζω, ὑπολαμβάνω, ἦ καὶ δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ κείνου; ἆρα ὀρθῶς εἰκάζω ὅτι αὕτη εἶναι ἡ σύζυγος ἐκείνου; Σοφ. Ἠλ. 663· ὡς ἐπεικάσαι πάθη πάρεστι, ὡς δύναταί τις νὰ εἰκάσῃ συγκρίνων τὰ παθήματα αὐτῶν, Αἰσχύλ. Χο. 976. **II.** καθόλου, εἰκάζω, συμπεραίνω, ἦ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω χοὰς φερούσας; αὐτόθι 14, πρβλ. 567· ὡς ἐπεικάσαι, ὅσον δύναταί τις νὰ εἰκάσῃ, Ἡρόδ. 9. 32· μακραίων γ', ὅσ' ἐπεικάσαι (οὕτως ὁ Both. ἀντὶ ὡς) Σοφ. Ο. Κ. 150· ὥς γ' ἐπεικάζειν ἐμὲ ὁ αὐτὸς ἐν Τρ. 1220. Ἴδε τὸ ῥῆμα **ἀπεικάζω** II.

ἐπεικασμός, ὁ, τὸ ἐπεικάζειν, Γαλην. τ. 14, σ. 339, 11.

ἐπείκελος, = **ἐπιείκελος**, Ἐπιτύμβ. ἐν Συλλ. Ἐπιγρ. 3398. 4· παρὰ τῷ Ὀππ. ἐν Κυνηγ. 2. 167, ἴσως γναμπτοῖς ἐπιείκελοι εἶναι ἡ διάφ. γραφή.

ἐπείκεν, **ἐπείκε**, ἢ κάλλιον **ἐπεὶ κεν**, **ἐπεὶ κε**, Ἐπικ. ἀντὶ **ἐπεάν**, **ἐπάν**.

ἐπείκοστος, ον, = 1 + 1/20 (ἴδε **ἐπίτριτος**), Μουσ. Συγγρ.

ἐπεικτάς (-ύς)· «ὑπόσχεσις· σπουδή» Ἡσύχ.

ἐπεικτέος, α, ον, ῥημ. ἐπίθ. τοῦ **ἐπείγω**, ὃν δεῖ ἐπείγειν, Πλάτ. Νόμοι 687Ε.

ἐπείκτης, ου, ὁ, (ἐπείγω) = **ἐργοδιώκτης**, ἐπιστάτης ἔργου τινός, Θεοφάν. 562, 589, Κ. Πορφυρ. Ἔκθ. Βασιλ. Τάξ. 459. 6. Κατὰ Σουΐδ.: «ἐπείκτης, ὁ κατεπείγων», προσέτι «ἐπείκτης λέγεται καὶ ὁ τὴν κογχύλην ἀπαιτῶν».

ἐπεικτικός, ή, όν, σπευστικός.— Ἐπίρρ. **-κῶς**, σπευστικῶς, σφοδρῶς, Σχόλ. εἰς Ἰλ. Λ. 165.

ἐπεικώς, Ἀττ. μετοχ. τοῦ **ἐπέοικα**, ὃ ἴδε.

ἐπειλάρχης, **ἐπειλαρχία**, ἴδε **ἐπιλ-**.

ἐπειλέω, ἐπιτυλίσσω·— **ἐπείλησις**, ἡ, ἐπιτύλιξις, Ἥρων Βελοπ. 128.

ἔπειμι (**εἰμί**, ὑπάρχω), ἀπαρ. **ἐπεῖναι**: μέλλ. **ἐπέσομαι**. Εἶμαι ἐπί, μετὰ δοτ. τόπου, κάρη ὤμοισιν ἐπείη Ἰλ. Β. 259· οὕτω παρ' Ἀττ. ποιηταῖς, σῆμα δ' οὐκ ἐπῆν κύκλῳ Αἰσχύλ. Θήβ. 591, πρβλ. Ἀγ. 547, κτλ.· ἀλλ' ἐν τῇ πεζολογίᾳ τὸ πλεῖστον μετὰ προθ., ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων Ἡρόδ. 8. 118· ἐπὶ τῷ ποταμῷ πύλαι ἔπεισι ὁ αὐτ. 5. 52, πρβλ. 7. 176· ἐπὶ ταῖς οἰκίαις τύρσεις ἐπῆσαν Ξεν. Ἀν. 4. 4, 2· ἀπολ., κώπη δ' ἐλέφαντος ἐπῆεν [δηλ. τῇ κληῗδι] Ὀδ. Φ. 7, πρβλ. Β. 344, Ἰλ. Ε. 127, κτλ. **2)** εἶμαι ἢ ὑπάρχω ἐπάνω εἴς τι, ἐπὶ ὀνομάτων, οὐκ ἐπῆν ἐπωνυμίη Ἡρόδ. 6. 53· οὕτω, ψεύδεος σεμνὸν ἔπεστι Πινδ. Ν. 7. 31· ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθος Ἀριστοφ. Νεφ. 1025·— ἐπὶ ἀμοιβῶν καὶ ποινῶν, ποινά, κέρδος ἐπέσται Αἰσχύλ. Εὐμ. 541, Ἀριστοφ. Ὄρν. 597· ἔπεστι νέμεσις Σοφ. Ἠλ. 1467· ἔσχαται τιμωρίαι ἐπὶ ταῖς ἐπαγγελίαις ἔπεισι Ἰσαῖος 42. 34, πρβλ. Πλάτ. Νόμ. 943D·— ἀπολ. ὡς τὸ **πάρεστι**, τέρψις ἔπεστι Σοφ. ἐν Αἴ. 1216· αἰσχύνη Ξεν. Κύρ. 6. 2, 33· πιεῖν δὲ θάνατος οἶνον, ἢν ὕδωρ ἐπῇ Κρατῖν. ἐν Ἀδήλ. 16. **3)** ἐνυπάρχω, ἀνέρας, οἷσιν ἔπεστι μέγα κράτος ἐνθάδε τιμῆς Ὁμ. Ὕμν. εἰς Δήμ. 150. **4)** Ταραντίνων οὐκ ἐπῆν ἀριθμός, τῶν δὲ (φονευθέντων) Ταραντίνων ἀδύνατος ἦν ἡ ἀρίθμησις (ἕνεκα τοῦ πλήθους), Ἡρόδ. 7. 170· οὕτως ἐν τῷ ἔπι ἀντὶ τοῦ **ἔπεστι**, ἴδε **ἐπί** Ε. II. **II.** ἐπὶ χρόνου, ἀλλ' ἔτι πού τις ἐπέσσεται, «ἀντὶ τοῦ μετὰ ταῦτα ἔσται, καὶ ὡς εἰπεῖν ἐπιγενήσεται, ὅθεν καὶ ἐπίγονος ὁ γένους διάδοχος» (Εὐστ.), Ὀδ. Δ. 756· οὐδέ τι δειλὸν γῆρας ἐπῆν, ὑπῆρχεν αὐτοῖς, Ἡσ. Ἔργ. κ. Ἡμ. 114· ἐπεσσόμενοι ἄνθρωποι, οἱ ἐν τῷ μέλλοντι ἐσόμενοι, ὥς ποτέ τις ἐρέει καὶ ἐπεσσομένων ἀνθρώπων Χρησμ. παρ' Ἡροδ. 6. 77· μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει.. μόχθον ἔχειν Ἐπίγραμμ. παρ' Αἰσχίνῃ 80. 16. **III.** εἶμαι ἐπὶ κεφαλῆς, προΐσταμαι, Λατ. praesse, τούτοισι πᾶσι.. ἐπῆσαν.. ἡγεμόνες Ἡρόδ. 7. 96· καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ αὐτ. 8. 71· ἔπεστί σφι δεσπότης ὁ νόμος ὁ αὐτὸς 7. 104· τίς δὲ ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατῷ; Αἰσχύλ. Πέρσ. 241, πρβλ. 555. **IV.** ἐπὶ προσθήκης καὶ ἑτέρου ἀριθμοῦ τῷ

ἤδη ὑπάρχοντι, χιλιάδες τε ἔπεισι ἐπὶ ταύτῃσι (δηλ. ταῖς πεντήκοντα μυριάσι) ἑπτὰ Ἡρόδ. 7. 184, πρβλ. 185. **V.** ἐπιβεβαιῶ, ὑποστηρίζω, τινι Πίνδ. Ο. 13. 141.

ἔπειμι (εἶμι, πορεύομαι), ἀπαρ. **ἐπιέναι**, χρησιμεῦον παρ' Ἀττ. ὡς μέλλ. τοῦ **ἐπέρχομαι**:—Ὁ Ὅμ. ἔχει τοὺς Ἐπικ. τύπους: γ' ἑνικ. προσ. παρατ. **ἐπήϊεν** Ἰλ. Ρ. 741· γ' πληθ. **ἐπήϊσαν** καὶ **ἐπῇσαν** Ὀδ. Λ. 233, κτλ.· Ἀττ. **ἐπῄειν**, γ' πληθ. **ἐπῄεσαν**: μέλλ. **ἐπιείσομαι** Ἰλ., μετοχ. μέσ. ἀορ. θηλ. **ἐπιεισαμένη** Ἰλ. Φ. 424: **I.** ἐπέρχομαι (μετὰ σημασίας μέλλ., ἂν καὶ τοῦτο δὲν εἶναι τόσον βέβαιον παρ' Ὁμ. ὅσον παρ' Ἀττ.): **1)** ἐπὶ προσ., ἐπέρχομαι, ἔρχομαι πλησίον, πλησιάζω, ἕδρης ἐπιόντι Ὀδ. Π. 42, κτλ. **β)** τὸ πλεῖστον ἐπὶ ἐχθρικῆς σημασίας, ἐπέρχομαι ἐναντίον τινός, ἐπιτίθεμαι, ἐνίοτε μετ' αἰτ., νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι Ἰλ. Λ. 367, Υ. 454, κτλ.· ἐνίοτε μετὰ δοτ., Αἰνείαν .. ὅς μοι ἔπεισιν Ἰλ. Ν. 482, Ἡρόδ. 7. 145, κτλ.· τῷ ἀδελφῷ ἐπ. Θουκ. 4. 129· ἐν τῇ πεζογραφίᾳ ὡσαύτως μετὰ προθέσεων, ἐπ. ἐπί τινα Ἡρόδ. 7. 157, Θουκ. 1. 86, κτλ.· πρός τινα, πρὸς τὸ τεῖχος ὁ αὐτὸς 1. 86., 7. 4· ἀπολ., Αἰνείαν ἐπιόντα Ἰλ. Ν. 477, πρβλ. Ε. 238, Ὀδ. Τ. 445· οἱ ἐπιόντες, οἱ ἐπερχόμενοι, οἱ εἰσβάλλοντες, Ἡρόδ. 4. 11, κτλ.· ὡς ἐπιών, δι' εἰσβολῆς ἢ ἐπιθέσεως, Δημ. 15. 12:—ἀλλ' ὁ ἐπιὼν παρ' Ἀττ. ποιηταῖς = ὁ τυχών, καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν ἀνδρὸς διειπεῖν Σοφ. Ο. Τ. 393· ἀλλὰ τοὐπιόντος ἁρπάσαι ὁ αὐτὸς ἐν Ο. Κ. 752. **γ)** ἀναβαίνω ἐπὶ τὸ βῆμα ἵνα ὁμιλήσω, οἱ δὲ (οἱ Λακεδαιμόνιοι) ἐκέλευόν τε ἐπιέναι, καὶ παρελθόντες οἱ Ἀθηναῖοι ἔλεγον τοιάδε Θουκ. 1. 72· παρουσιάζομαι, ἔρχομαι εἰς συμπόσιον μετά τι, ἐπὶ τούτῳ ἐπιόντες οἱ Μαντινεῖς .. ᾔεσάν τε ἐν ῥυθμῷ .. καὶ ὠρχήσαντο Ξεν. Ἀν. 6. 1, 11. **δ)** = **μέτειμι**, τόν τε δὴ τρόπον τοῦτον ἐπιοῦσιν ἀδύνατον φαίνεται τὰ ὄντα ἓν εἶναι Ἀριστ. Φυσ. Ἀκρ. 1. 3, 1. **2)** ἐπέρχομαι εἴς τινα, καταλαμβάνω αὐτόν, μετ' αἰτ., τὴν δ' ἐγὼ οὐ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν, πρὶν καταλάβῃ αὐτὴν τὸ γῆρας, Ἰλ. Α. 29 (παρὰ Πινδ. 1. 7 (6). 58· ἔπειμι ἐς γῆρας)· οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος, θά σοι ἐπέλθῃ ἀφεύκτως, Αἰσχύλ. Πρ. 1015· μετὰ δοτ., πλησιάζω, προσεγγίζω, ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισι Ἰλ. Ρ. 741· δεινῶν ἐπιόντων τοῖς Ἕλλησιν, ἐπαπειλούντων, Ἡρόδ. 7. 145:—ἀπολ., ὡς τὸ Λατ. ingruere, χειμὼν ἐπιὼν Ἡσ. Ἔργ. κ. Ἡμ. 673· νὺξ ἐπῄει Αἰσχύλ. Πέρσ. 278· πρβλ. Ξεν. Ἀπομν. 4. 3, 14, Ἀν. 5. 7, 12. **β)** μετὰ δοτ. προσ., ἐπέρχεταί μοι, «μοὔρχεται», εἰ καὶ ἐπίοι αὐτῷ τοιοῦτον ἢ λέγειν ἢ ποιεῖν Πλάτ. Πολ. 388D, πρβλ. 557E· ὅ τι ἂν ἀπὸ ταὐτομάτου ἐπίῃ μοι Ξεν. Ἀπομν. 4. 2, 4· ἂν τοίνυν ὑμῖν ἐπίῃ σκοπεῖν Δημ. 574. 20, κτλ.:—ἀπολ., τοὐπιόν, τὸ ἐπερχόμενον εἰς τὸν νοῦν τινος, Πλάτ. Φαῖδρ. 238D, 264B· πρβλ. **ἐπέρχομαι** I. 2. β, **εἰσέρχομαι** V, **ὑπέρχομαι** II. **II.** ἐπὶ χρόνου, τὸ πλεῖστον κατὰ μετοχ. **ἐπιών, οὖσα, όν**, ἡ ἐπιοῦσα ἡμέρα, ἡ ἐρχομένη ἡμέρα, Ἡρόδ. 3. 85, Ἀριστοφ. Ἐκκλ. 105, πρβλ. Πόρσ. ἐν Εὐρ. Φοιν. 1651· τῆς ἐπιούσης ἡμέρας Πλάτ. Κρίτων 44A· τῆς ἐπ. νυκτὸς αὐτόθι 46A· ὁ ἐπιὼν βίοτος Εὐρ. Ὀρ. 1659· τοῦ ἐπιόντος χρόνου Πλάτ. Νόμοι 769C· ἐν τῷ ἐπιόντι χρόνῳ Ξεν. Κύρ. 2. 1, 23· ἡ ἐπιοῦσα ὥρα τοῦ ἔτους Δημ. 94. 8· εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν ὁ αὐτὸς 566· 5· εἰς τὴν ἐπ. Πυλαίαν ὁ αὐτὸς 277. 26· τοὐπιόν, τὸ μέλλον, Εὐρ Ἀποσπ. 1058· τῆς ἐπ. ἐλπίδος Ἀριστοφ. Θεσμ. 870· περὶ τῶν ἐπιόντων Δημ. 1487. 5· τῶν ἐπιόντων ἕνεκα, τῶν ἐπακολουθημάτων ἕνεκα, ὁ αὐτὸς 423. 27. **2)** καθόλου, ἔρχομαι κατόπιν ἄλλου, ἀκολουθῶ, κύματα .. βάντ' ἐπιόντα τε Σοφ. Τρ. 115, ἔνθα ἴδε σημ. Jebb· ὁ ἐπιών, ὁ διαδεχόμενός τινα, ὁ διάδοχος, ὁ δ' ἀεὶ τὠπιόντι δεικνύτω ὁ αὐτὸς Ο. Κ. 1532· ἀλλ' ἴδε ἀνωτ. I. 1. β. **III.** εἶμι ἐπί τινι, μεταβαίνω εἴς τι μέρος, Λατ. obire, μετ' αἰτ., ἀγρὸν ἔπειμι ὀψόμενος πατέρ' ἐσθλόν, θὰ μεταβῶ εἰς τὸν ἀγρὸν ὅπως ἴδω τὸν καλόν μου πατέρα, Ὀδ. Ψ. 359· διατρέχω, ἐπιόντες χώρους τῆς Ἀττικῆς Ἡρόδ. 5. 74· ἐπεὶ δὲ τάσδ' εἰσεῖδεν εὐτυχεῖς πύλας, ἄλλας ἐπῄει, μετέβη εἰς ἄλλας, Εὐρ. Φοίν. 1164· ὁ Νικίας, τοιάδε παρακελευόμενος, ἅμα ἐπῄει τὸ στράτευμα, διήρχετο δι' αὐτοῦ καὶ τὸ ἐπεθεώρει, Θουκ. 7. 78, κτλ.· φώκας μέν τοι πρῶτον ἀριθμήσει καὶ ἔπεισιν, θὰ τὰς ἀριθμήσῃ καὶ θὰ τὰς ἐπιθεωρήσῃ, περὶ τοῦ Πρωτέως, Ὀδ. Δ. 411 (πρβλ. **ἐποίχομαι** II): ἐπιὼν τῇ μνήμῃ ἕκαστα, διερχόμενος, ἀναθεωρῶν διὰ τῆς μνήμης ἕκαστα, Λουκ. Ἑρμότ. 1.

ἐπείνυσθαι, Ἰων. ἀντὶ τοῦ **ἐφέννυσθαι**, ἐνδύεσθαι, Ἡρόδ. 4. 64.

ἔπειξις, εως, ἡ, τὸ ἐπείγεσθαι, σπουδή, διὰ τὴν ἔπειξιν ἀλλήλους .. ἀνακαλοῦντες πολλάκις Πλούτ. Ρωμ. 29· γράμματα οὐ πάνυ σαφῆ .. δηλοῦντα ἔπειξιν τοῦ γεγραφότος Λουκ. Ἑταιρ. Διάλ. 10. 3.

ἐπείπερ ἢ **ἐπεί περ**, σύνδ. ἐπιτεταμ. ἀντὶ τοῦ ἁπλοῦ **ἐπεί**, μεθ' ὁριστ., ἐπείπερ καὶ πάγας .. ἐφραξάμεσθα Αἰσχύλ. Ἀγ. 822, 854, Σοφ. Ο. Τ. 1003, Ο. Κ. 75, Πλάτ. κλ.· παρ' Ὁμ. ἀείποτε μετὰ παρεντεθειμένης ἄλλης τινὸς λέξεως, ἐπεὶ σύ περ Ἰλ. Ν. 447, Ὀδ. Υ. 181.

ἐπεῖπον, ἀπαρ. **ἐπειπεῖν**, ἀόρ. β' ἄνευ ἐνεστῶτος ἐν χρήσει, διδόντα τὸν λαγὸν Κύρῳ ἐπειπεῖν, ἐνῷ ἔδιδε τὸν λαγόν, ἐπάνω εἰς αὐτὸ νὰ εἴπῃ, Ἡρόδ. 1. 123· ἐπεῖπον τοιάδε, μετὰ τοὺς προλαλήσαντας εἶπον τοιάδε (οἱ Κορίνθιοι), Θουκ. 1. 67, Αἰσχίν. 49. 15, κτλ. **2)** ἐπειπεῖν ψόγον ἀλλοθρόοις, ψέξαι, Αἰσχύλ. Ἱκ. 972, πρβλ. Λουκ. πῶς δεῖ Ἱστ. Συγγρ. 26. — Καθ' Ἡσύχ. μέσ. ἀόρ. «ἐπείπασθαι· ἐξειπεῖν» καὶ μετοχ. ἐνεργ. ἀορ. β', «ἐπειπών· ἐπιβοήσας».

ἐπείρομαι, ἀπαρ. **-είρεσθαι** Ἡρόδ. 1. 19, 86 κ. ἀλλ.: παρατ. **-είρετο** 3. 22, κ. ἀλλ.: μέλλ. **-ειρήσομαι** 1. 67, κ. ἀλλ.·— ἐν χρήσει παρ' Ἀττ. μόνον ἐν τῷ μέλλ. **ἐπερήσομαι** Ἀριστοφ. Λυσ. 98, Πλ. 32, καὶ ἀορ. **-ηρόμην**, ἀπαρ. **-ερέσθαι** Σοφ. Ο. Κ. 557, Θουκ., κλ.·— ἐρωτῶ προσέτι, τοῦτο δὲ ἐπήρετο τῶν παρόντων ἕνεκα Ξεν. Κύρ. 6. 3, 10. **II.** μετ' αἰτ., ἐρωτῶ ἐκ νέου περί τινος πράγματος, ἐπειρησομένους τὸν χῶρον Ἡρόδ. 1. 67., 7. 101, Ἀριστοφ. Λυσ. 98· περί τινος Ἡρόδ. 1. 158· μετ' ἐξηρτημένης προτάσεως, ἐπ. ὅ τι σιτέεται ὁ βασιλεὺς ὁ αὐτὸς 3. 22· ἐπ. εἰ .., πότερα .., Θουκ. 1. 25, κτλ.· ἀπολ., Ἡρόδ. 4. 161. **2)** ἐρωτῶ, ἰδίως τὸν θεόν, ἔδοξε .. τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου ὁ αὐτὸς 1. 19, Ἀριστοφ. Πλ. 32, Θουκ. 1. 25, κτλ.· ἐρωτῶ τινα ὅπως μοι εἴπῃ τι, θέλω ἐπερέσθαι .. τίνα, κτλ., Σοφ. ἔνθ' ἀνωτ. **3)** ἐρωτῶ ἢ ζητῶ τὴν γνώμην τοῦ δήμου, Πλάτ. Ἀξίοχ. 368D, πρβλ. Δημ. 594. 26.— Πρβλ. **ἐπανείρομαι**.

ἐπειρύω, Ἐπικ. καὶ Ἰων. ἀντὶ τοῦ **ἐπερύω**.

ἐπειρωνεύομαι, ἀποθ., ὁμιλῶ εἰρωνικῶς, περιγελῶ, χλευάζω, Ἀππ. Ἐμφυλ. 4. 70, Ἰωσήπου Ἰουδ. Πόλ. 5, 13, 1.

ἐπειρωτάω ἢ **-έω, ἐπειρώτημα, -τησις**, Ἰων. ἀντὶ ἐπερ-.

ἐπεισάγω, εἰσάγω προσέτι, ἰδίως ἐπὶ τοῦ λαμβάνειν δευτέραν γυναῖκα, ὁ παισὶν αὐτοῦ μητρυιὰν ἐπεισάγων Κωμ. Ἀνώνυμ. 50. 3· ἐπεισαγαγὼν [Κλεοπάτραν] τῇ Ὀλυμπιάδι, περὶ τοῦ βασιλέως τῆς Μακεδ. Φιλίππου, Ἀθήν. 557D· ἐπεισάγων εἰς τὴν αὐτὴν οἰκίαν (ἐν ᾗ δηλ. ἦν ἡ νόμιμος γυνὴ αὐτοῦ) ἑταίρας, ὥστ' ἠνάγκασε τὴν γυναῖκα σωφρονεστάτην οὖσαν ἀπολιπεῖν, περὶ τοῦ Ἀλκιβιάδου, Ἀνδοκ. 4. 14· τινὰς εἰς τὸ δικαστήριον Συλλ. Ἐπιγρ. 5187α. 25.— Παθ., οἱ ἐπεισαχθέντες, οἱ νεωστὶ γενόμενοι πολῖται, Διον. Ἁλ. 2. 56, πρβλ. Λουκ. Πλοῖον ἢ Εὐχαὶ 33.— Μέσ., λαμβάνω μετ' ἐμαυτοῦ πρὸς τοῖς ἄλλοις, ἐπεισαγόμενος νέους ἑταίρους Πλάτ. Πολ. 575D· εἰσάγω καὶ ἄλλους πρὸς τοὺς ἤδη ὄντας, ἤ τινας ἐπεισαγόμενοί ποθεν ἄλλους ἔξωθεν πολίτας ὁ αὐτ. Πολιτ. 293D. **2)** εἰσάγω τι νέον ἄσχετον πρὸς τὰ παρόντα, Αἰσχίν. 1. 52, 1, κτλ.· εἰσάγω τι νέον, ἄλλην ἐπεισῆγε μηχανήν, ἐφεῦρε νέαν ἄλλην πανουργίαν, Πολύβ. 32. 21, 11. **3)** εἰσάγω, κομίζω ἐντὸς πρὸς τοῖς ἄλλοις, χορείαν ἢ τράπεζαν δευτέραν Ἀντιφάνης ἐν «Ὁμοίοις» 1· εἰσάγω εἰς τὴν σκηνὴν δρᾶμα μετά τι, τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων, τῶν εἰσαγόντων δρᾶμα εἰς τὸ θέατρον μετὰ τὰς ἀναρρήσεις τῶν στεφάνων, Αἰσχίν. 86. 38, Πολύβ. 24. 8, 12.

ἐπεισαγωγή, ἡ, ἡ πρὸς τοῖς ἄλλοις εἰσαγωγή, ἑτέρων ἰητρῶν ἐπεισαγωγὴν Ἱππ. 27. 20· ἰδίως ἐπὶ δευτέρας γυναικός, Ἰωσήπου Ἰουδ. Ἀρχ. 11. 6, 2· προσώπων ἐπ., εἰσαγωγὴ νέων προσώπων ἢ χαρακτήρων εἰς τὴν σκηνήν, Εὐριπίδου δὲ καὶ Σοφοκλέους ποικιλώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς, περὶ τοῦ Αἰσχύλου, Διον. Ἁλ. τῶν Ἀρχ. Κρίσις 2. 10 (τόμ. 5. σ. 422, ἔκδ. Reisk.), πρβλ. 3. 3. **2)** μέσον πρὸς εἰσαγωγήν, ἐπεισαγωγὰς τῶν πολεμίων Θουκ. 8. 92.

ἐπεισᾰγώγιμος, ον, ἐπὶ προϊόντων ἔξωθεν εἰσαγομένων εἴς τινα χώραν, ἀλλὰ μήν, ἦν δ' ἐγώ, κατοικίσαι γε αὐτὴν τὴν πόλιν εἰς τοιοῦτον τόπον, οὗ ἐπεισαγωγίμων μὴ δεήσεται, σχεδόν τι ἀδύνατον Πλάτ. Πολ. 370E.

ἐπείσακτος, ον, ὡς τὸ **ἐπακτός**, ἐν ἀντιθ. πρὸς τὸ **οἰκεῖος**, ἔρως δέ, ὅτι ἐσρεῖ ἔξωθεν καὶ οὐκ οἰκεία ἐστὶν ἡ ῥοὴ αὕτη τῷ ἔχοντι, ἀλλ' ἐπείσακτος διὰ τῶν ὀμμάτων Πλάτ. Κρατ. 420B. **II.** ὁ ἔξωθεν, ἐκ τῆς ἀλλοδαπῆς εἰσαγόμενος, ἀλλότριος, ξένος, ἀντίθετον τῷ **αὐτόχθων**, εἶναί φασι τὰς αὐτόχθονας Ἀθήνας οὐκ ἐπείσακτον γένος Εὐρ. Ἴων 590· σῖτος Δημ. 254. 10., 466. 21· ἡδονὴ Ἀριστ. Ἠθ. Νικ. 9. 9, 4· κακὸν Κωμ. Ἀνώνυμ. 50. 5· θύραθεν ἐπ., ἐν ἀντιθ. πρὸς τὸ φύσει ὑπάρχον, Ἀριστ. π. Ζ. Μορ. 2. 16, 11·— θηλ. **ἐπεισάκτη** εἶναι πιθανὴ γραφὴ ἐν Συλλ. Ἐπιγρ. 3777. 9.— Ἐν Ἰουστινιαν. Νεαραῖς 123, 29, τὸ **ἐπείσακτος, ον**, = **συνείσακτος, ον**.— Ἐπίρρ. **ἐπεισάκτως**, αὐτὸς μὲν φύσει τοῦτο ἔχει, ἡμεῖς δ' ἐπεισάκτως Ἰω. Χρυσ. τ. 4. σ. 265. 32.

ἐπεισβαίνω: μέλλ. **-βήσομαι**, εἰσορμῶ, ἐπεισβαίνων τῷ ἵππῳ εἰς τὴν θάλατταν .. ἐμάχετο Ξεν. Ἑλλην. 1. 1, 6· ἐπεισβαίνοντες ξὺν τοῖς ὅπλοις εἰς τὴν θάλασσαν Θουκ. 2. 9., 4. 14.

ἐπεισβάλλω: μέλλ. **-βᾰλῶ**, βάλλω ἢ χύνω ἐντὸς ἄλλου, προσθέτω, ἀλλ' ἐπεισβαλεῖν ἡδὺ σκύφον τοῦδ' ἀσθενεστέρῳ ποτῷ, ἀλλ' εἶναι εὐχάριστον νὰ προσθέσῃ τις ποτήριον ἐκ τούτου

(δηλ. τοῦ ἐκλεκ οὖ ποτοῦ) εἰς ἀσθενέστερον ποτόν, Εὐρ.'Ηλ. 498. **II.** ἀμεταβ., εἰσβάλλω ἐκ νέου, Θουκ. 3.13.

ἐπεισβάτης [ᾰ], ου, ὁ, (ἐπεισβαίνω) πρόσθετος, ὑπεράριθμος ἐπιβάτης πλοίου, τῶν ἐπεισβατῶν ὡς πλῆθος εἴη Εὐρ. Ἑλ.1550.

ἐπεισβιάζομαι, ἀποθ., ἐκβιάζω τὴν εἴσοδον, εἰσβάλλω εἰς μέρος ἔνθα ὑπάρχει ἄλλος, ὃς δ' ἂν ἕτερος ἐπεισβιάσηται 'Επιγρ. ἐπιτύμβ. ἐν Συλλ.'Επιγρ. 3996, 4007, πρβλ. 4190, 4366ιι.

ἐπεισδείκνυται, διάφ. γραφ. παρ' 'Ηλιοδ.1.15 ἀντὶ **ἐπιδείκνυται**, ἴδε ἔκδ. Κοραῆ τ. 2. σ. 30, 3.

ἐπεισδέχομαι,'Αποθ., εἰσδέχομαι ἐπὶ πλέον, μηκέτι τοῦ θώρακος οἵου ὄντος.. ἐπεισδέχεσθαι Πλούτ. 2. 903E.

ἐπεισδύνω, μεταγεν. **ἐπεισδύω**, ἐπεισέρχομαι, λανθάνει γὰρ ἐπεισδύουσα ἡ παράβασις 'Αριστ. Πολιτικ. 5. 8, 2.

ἐπείσειμι (εἶμι, ibo) ἐπεισέρχομαι, 'Αριστ. Φυσ. 4. 6, 9· θύραθεν ὁ αὐτὸς ἐν τῷ π. Ζ. Γεν. 2. 3,10· ἐπὶ μάχης,'Ηρόδ.7.210· ἐπὶ δραμάτων, εἰσέρχομαι, εἰσάγομαι εἰς τὴν σκηνὴν μετά τι, πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς πάθεσι τοῖς μετὰ ταῦτα ἐπεισιοῦσιν Αἰσχίν. 3. 41, 5·— εἰσορμῶ εἴς τι, Ξεν. Κυν.10, 9. **2)** εἰσέρχομαι κατόπιν ἄλλου,'Ιππ. Προρρ. 83. 5· ἔξωθεν Πλάτ. Τίμ. 41D. **3)** ἐπὶ πραγμάτων, ἐπέρχομαι, συμβαίνω εἴς τινα, τινι αὐτόθι 50E.

ἐπεισέλευσις, ἐμβολή, ἐπιφορὰ εἰς τὰ ἐντός, Εὐστρ. εἰς 'Αριστ. 'Ηθ. Ν 1. 5, 6.

ἐπεισενεκτέον, ῥηματ. ἐπίθ. τοῦ **ἐπεισφέρω**, δεῖ ἐπεισφέρειν ἢ ἐπεισενεγκεῖν, Στοβ.'Εκλογ. τ. 2. σ. 46.

ἐπεισέρρω, «ἐπεισήρρησεν, εἰσεφθάρη» Σουΐδ., Πολυδ. Θ', 158. —Ὁ Herwerden ἐν Αἰσχύλ. 'Αγαμέμν. 864 ἀντὶ τοῦ **ἐπεσφέρειν** ἔχει **ἐπεισέρρειν**.

ἐπεισέρχομαι,'Αποθ. μετ' ἀορ. καὶ πρκμ. ἐνεργ., κατορθώνω καὶ εἰσέρχομαι, καὶ τῶν ἐπεισελθόντων τῶν.. ἐκ τῶν νεῶν διαφυγόντων Θουκ. 8. 35· ἰδίως, εἰσέρχομαι εἰς οἰκογένειαν ὡς μητρυιά,'Ηρόδ. 4.154. **2)** εἰσέρχομαι μετά τινα, ὁ αὐτὸς 1. 37· κατόπιν τινὸς Πλάτ. Πρωτ. 316A· καὶ συχν. παρ' 'Αττ.· τινι Διον.'Αλ. π. Δημ. 8. **3)** προσέτι, εἰσέρχομαι, μετ' αἰτ., ὅστις σε γήμας ξένος ἐπεισελθὼν πόλιν Εὐρ.'Ιων 813· μετὰ δοτ., δόμοις αὐτόθι 851· ἐπεισελθόντες εἰς τὸ χωρίον Δημ. 1155. 8· ἐπὶ πραγμάτων, εἰσάγομαι ἐκ τῆς ἀλλοδαπῆς, ἐπ. ἐκ πάσης γῆς τὰ πάντα Θουκ. 2. 38. **II.** μεταφ., **1)** ἐπὶ ἐθίμων, εἰσάγομαι βραδύτερον, Πλούτ. 2. 675F, κτλ. **2)** ἔρχομαι εἰς τὴν μνήμην τινός, Λουκ. π. 'Αληθ. 'Ιστ. Β', 42, Πλούτ. 2. 585E.

ἐπεισηγέομαι, 'Αποθ., προσέτι εἰσηγοῦμαι, διδάσκω τι εἴς τινα, Διόδ. 5. 7.

ἐπείσθεσις, **εως**, ἡ, εἴσθεσις, εἰσαγωγή, ἀντίθ. τῷ **ἐπέκθεσις**, Σχόλ. εἰς 'Αριστοφ.'Ιππ. 381. **II.** παρεμβολή, παρενθήκη, λόγων ἐπεισθέσεως οὐδόλου δεόμενον 'Ανωνύμου Προγυμν. ἐν Ῥήτορσι (Walz) τ.1. σ. 605 ἐν τέλει.

ἐπείσιον, τό, = **ἐπίσειον**, Λυκόφρ.1385.

ἐπεισκληθῆναι, ἐξ ἐνεστ. **ἐπεισκαλέω**, διάφ. γρ. ἐν Λουκ. Φιλοψευδ. 29, ἀντὶ **ἐπεισκυκληθῆναι** ἐκ τοῦ **ἐπεισκυκλέω**, ὃ ἴδε.

ἐπεισκομίζω, εἰσκομίζω προσέτι, ἕτερον σῶμα ἐπ. Συλλ. 'Επιγρ. (Προσθῆκαι) 3882 i: μέσ., Κωμ.'Ανώνυμ. 349.

ἐπεισκρίνομαι [ῑ], Παθ., ἀποχωρίζομαι καὶ εἰσέρχομαι,'Ιππ. 380. 49, Σέξτ. Ἐμπ. II. 3. 82.—Καθ' 'Ησύχ.: «ἐπεισκρινόμενον· ἐπεισερχόμενον».

ἐπεισκυκλέω, ἐπικυλίω ἐντός, ἐπεισάγω, τὰ μηδὲν προσήκοντα ἐπεισκυκλοῦσιν Λουκ. πῶς δεῖ 'Ιστ. Συγγρ. 13· ἄλλ' ἐπ' ἄλλοις Λογγῖν. 22. 4:—Παθ., εἰσκομίζομαι, εἰσάγομαι, Λουκ. Θεῶν 'Εκκλ. 9, Φιλοψευδ. 29, ἴδε **ἐπεισκληθῆναι**.

ἐπεισκύπτω = **εἰσκύπτω**, ξανθὴ δ' ἀφροδισία λάταξ παισὶν ἐπεισκύπτει δόμοις Σοφ.'Αποσπ. 257, παρ' 'Αθην. 668B ὁ Meineke ἔχει: πᾶσιν ἐπεκτύπει δόμοις.

ἐπεισκωμάζω, εἰσορμῶ που ὡς οἱ κωμάζοντες, Πλάτ. Πολ. 500B· μεταφ., ἐπὶ ἐπιχειρημάτων λογικῶν, ὁ αὐτὸς ἐν Θεαιτήτῳ 184, πρβλ. Λουκ. Ψευδολογιστ.11.

ἐπεισκώμᾰσις, ἡ, εἰσκώμασις κατά τινος, ἔφοδος, Νικήτ.'Αλεξ. σ.166D.

ἐπεισοδιάζω, ἐπεισάγω, παρεμβάλλω, ὡς ἐπεισόδιον, Εὐστ.'Ιλ. 409. 21· εἰσκομίζω, Φίλων 1.134, 5.—Παθ., τῶν ἔξωθεν ἐπεισοδιαζομένων αὐτόθι 592, 14.

ἐπεισόδιος, ον, (εἴσοδος), ὁ ἔξωθεν προσερχόμενος καὶ προστιθέμενος εἴς τι, σύμφυτον ἔχει τὴν τοῦ πάθους ἀρχὴν οὐκ ἐπεισόδιον Πλούτ. 2. 451B, πρβλ. 584E· ἀκροάμασιν ἐπεισοδίοις Πλουτ. Λούκουλλ. 40, πρβλ. Κάτ. Πρεσβ.18,'Ανθ. II. 5.19. **II.** ὡς οὐσιαστ. **ἐπεισόδιον**, τό, τὸ γινόμενον χάριν ἡδονῆς, οὐχὶ δὲ χρείας ἕνεκα, τὰ δ' ἐπεισόδια γέγονεν ἡδονῆς ἕνεκεν, χρείας μὴ συναγομένης, ὥσπερ ἀκροάματα καὶ θεάματα, κτλ., Πλούτ. 2. 629C, 710D· γέλγιθες, κόγχαι, ῥοιαί, σταφυλαί, δαψιλοῦς οἰνοπόταις γαστρὸς ἐπεισόδια 'Ανθ. II. 6. 232. **2)** ἐν τῇ ποιήσει παρενθετική τις προσθήκη, ἐπεισόδιον. **α)** ἐν τοῖς 'Επικοῖς ποιήμασιν, οἷον ὁ κατάλογος ἐν 'Ιλιάδι, 'Αριστ. Ποιητ. 23, 5. **β)** ἐν τῇ ἀρχαίᾳ τραγῳδίᾳ τὰ διαλογικὰ μέρη, τὰ μεταξὺ δύο χορικῶν ᾀσμάτων, ἅτινα κατ' ἀρχὰς ἦσαν ἁπλῶς παρενθῆκαι, αὐτόθι 12, 5:—ἀκολούθως, ἐπὶ πάσης δευτερευούσης πλοκῆς ἢ παρεντεθειμένης διηγήσεως ἐν ποιήσει, ἥτις αὐτὴ καθ' ἑαυτὴν ἠδύνατο ν' ἀποτελέσῃ πλῆρές τι σύνολον, αὐτόθι: ὡσαύτως ἐπὶ παντὸς εἴδους συνθέσεως, Διον.'Αλ. π. Συνθ.'Ονομ.19. **γ)** ἐν τῇ Κωμῳδίᾳ, παρεμβεβλημένον κωμικὸν μέλος, intermezzo, κατ' ἐπεισόδιον μεταβάλλω τὸν λόγον Μεταγένης ἐν «Φιλοθύτῃ» 1, ἔνθα ἴδε Meineke· πρβλ. Κρατῖνον ἐν «Πυτίνῃ» 13. **3)** μεταφ., ἐπεισόδια τύχης Πολύβ. 2. 35, 5.— Κατὰ Σουΐδ. «ἐπεισόδιον, τὸ εἰς τὰ δράματα εἰσαγόμενον, κατὰ προσθήκην τινὰ καὶ αὔξησιν τοῦ δράματος», καὶ «ἐπεισόδιον, τὸ εἰσφερόμενον τῷ δράματι γέλωτος χάριν ἔξω τῆς ὑποθέσεως ὄν, καταχρηστικῶς δὲ τὸ ἐξαγώνιον ἅπαν πρᾶγμα». Πρβλ. Πολυδ. Δ', 108, A. B. 253, 19, κτλ.

ἐπεισοδιόω, καθιστῶ τὸν λόγον ποικίλον εἰσάγων εἰς αὐτὸν ἐπεισόδια, ἐπεισοδιοῦν ἀνομοίοις ἐπεισοδίοις 'Αριστ. Ποιητ. 24, 7· πρβλ.17. 5· ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις ὁ αὐτὸς ἐν Ῥητορ. 3.17, 11, πρβλ. **ἐπεισοδιάζω**.

ἐπεισοδιώδης, **ες**, (εἶδος) ἀσυνάρτητος, ἀσύνδετος, ἀσύναπτος, 'Αριστ. Μετὰ τὰ Φυσ.13. 3, 9. **II.** πλήρης ἐπεισοδίων, λέγω δὲ ἐπεισοδιώδη μῦθον ἐν ᾧ τὰ ἐπεισόδια μετάλληλα οὔτ' εἰκὸς οὔτ' ἀνάγκη εἶναι ὁ αὐτὸς ἐν τῇ Ποιητ. 9.11.

ἐπείσοδος, ἡ, ἐπέλευσις, ἔλευσις, Σοφ. Ο. Κ. 730, 'Αποσπ. 259, Πλούτ. 2. 903D.

ἐπεισπαίω, εἰσορμῶ αἰφνιδίως, εἰσπηδῶ, εἰσέρχομαι, ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν ἐπεισπέπαικεν οὐδὲν ἠδικηκόσι 'Αριστοφ.Πλ.805· Μυκονίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια Κωμικ.'Ανώνυμ.366·— ἀπολ., Λουκ.'Εταιρ. Διάλ.15.1.

ἐπεισπέμπω, εἰσπέμπω μετ' ἄλλον, Μάξιμον ἐξελεύθερον ἐπεσέπεμψε μετὰ τὸν Στέφανον Δίων Κ. 67.17.

ἐπεισπηδάω καὶ **ἐπεσπ-**: μέλλ. **-ήσομαι**, ἐπιπηδῶ ἐντός, τοὺς δ' εἰς τὰς τάφρους ἐμπίπτοντας ἐπεισπηδῶντες ἐφόνευον Ξεν. Κύρ. 3. 3, 64· μετὰ δοτ., ἐπεσπηδήσαντες τῷ ἄρχειν ξυνέσχον τὰ κοινὰ Φιλόστρ. σ. 73, 1, ἔκδ. Kayser, 'Αριστοφ.'Ιππ. 363, Δημ.1156. 8, Δίων Κ. 67, 17.

ἐπεισπίπτω καὶ **ἐπεσπ-**: μέλλ. **-πεσοῦμαι**, εἰσπίπτω, εἰσορμῶ αἰφνιδίως κατά τινος, ναυστάθμοις ἐπεσπεσεῖν Εὐρ. Ῥῆσ. 448· ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι Ξεν. Κύρ.7. 5, 27· ὡσαύτως μετ' αἰτ., ἐπ. πόλιν Εὐρ.'Ηρ. Μαιν. 34: — ἀπολ., εἰσορμῶ, εἰσβάλλω, ὧδ' ἐπεισπεσὼν Σοφ. Ο. Κ. 915, Εὐρ.'Εκ.1042. **2)** πίπτω ἐπάνω τινός, βρονταί τινι ἐπεσπίπτουσι 'Ηρόδ.7. 42.

ἐπεισπλέω καὶ **ἐπεσπλ-**: μέλλ. **-πλεύσομαι** καὶ **-πλευσοῦμαι**, εἰσπλέω μετ' ἄλλους εἴς τινα τόπον, Θουκ. 6. 2· 'Αλκιβιάδης ἐπεισπλεῖ Ξεν.'Ελλην. 1. 1, 5· μεταφ., μετὰ ταῦτα θύννων.. ἐπεισέπλει ὑπογάστρι' ὀπτῶν Εὔβουλ. ἐν «"Ιωνι» 2. **II.** εἰσπλέω που ἐναντίον τινὸς ὅπως ἐπιτεθῶ κατ' αὐτοῦ, ὡς αὐτοὶ ἐπεσπλευσούμενοι Θουκ. 4.13.

ἐπεισπνέω: μέλλ. **-πνεύσομαι**, εἰσπνέω πάλιν εὐθὺς μετ' ἄλλην εἰσπνοήν, ἐν ἀντιθ. πρὸς τὸ **ἐπεκπνέω**, Γαλην. τ.10. σ. 235(;)

ἐπεισπράττω, εἰσπράττω προσέτι ἢ ἐπὶ πλεον, τετραπλάσια ἐπεσέπραξε Δίων Κ. 74. 8.

ἐπεισρέω: μέλλ. **-ρεύσομαι**, εἰσρέω ὑπεράνωθέν τινος, ὡς ὅταν ἡ θάλασσα ὁρμᾷ κατὰ τῶν πλευρῶν πλοίου καὶ εἰσρέῃ εἰς αὐτὸ ὑπεράνωθεν αὐτῶν, καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεισρέει Ποιητ. παρ' 'Αρρ. ἐν Περίπλ. Εὐξ. Πόντ. 3, ἐν τέλει· οἷον ἐκ πηγῆς τῆς Νουμᾶ σοφίας τῶν καλῶν καὶ δικαίων ἐπεισρεόντων εἰς ἅπαντας Πλουτ. Νουμ. 20, Λουκ.'Αλέξ.49,'Αθήν.156E.

ἐπειστρέχω: ἀόρ. **-έδραμον**, ἐπεισέρχομαι τρέχων, τρίτος ἐπεισέδραμεν αὐτοῖς Τιβέριος 'Ιουλιαν. 309C.

ἐπεισφέρω: μέλλ. **-οίσω**, εἰσφέρω μετά τι, ἔπειτ' ἐπέσφερε τοὺς ἀμύλους, δηλ. ἀφοῦ πρῶτον καθαρίσῃς τὰς τραπέζας, 'Αριστοφ. Εἰρήν. 1195· ἐπεισενεχθῆναι 'Ιππ. περὶ "Αρθρων 782· καὶ τὸν μὲν ἥκειν, τὸν δ' ἐπεσφέρειν κακοῦ κάκιον ἄλλο πῆμα Αἰσχύλ. 'Αγ. 864 (πρβλ. **ἐπεισέρρω**)· τέκνον δ' ἐπεισφέρει δόμοισιν ὁ αὐτὸς ἐν Χο. 649· ἐπ. λόγον, εἰσάγειν νέον ἐπιχείρημα, 'Αριστοφ. Θεσμ.1164· ἐν ἐπιγραφαῖς ἐπιτυμβίοις, εἰσάγω (εἰς τὸν τάφον) καὶ ἕτερον νεκρόν, Συλλ.'Επιγρ. 3384, 3863 κ. ἀλλ.— Μέσ., εἰσφέρω, εἰσάγω ὑπὲρ ἐμοῦ, ἐπεισενεγκάμενοι μαρτύρια, εἰσενεγκάμενοι μαρτύρια πρὸς τοῦτο, Θουκ. 3. 53.—Παθ., τὸ ἐπεσφερόμενον πρῆγμα, τὸ ἐπερχόμενον εἰς ἡμᾶς, τὸ συμβαῖνον, 'Ηρόδ.7. 5,1· ὁ ἐπεισφερόμενος νόμος, ὁ νεωστὶ εἰσφερόμενος, 'Αριστ. Τοπ. 6.14, 5.

ἐπεισφθείρομαι, ἐνολισθάνω, ἐμπίπτω ἐν κακῇ ὥρᾳ, ἐπὶ κακῷ, Βασίλ. Σελευκ. 489B.

ἐπεισφοιτάω, εἰσέρχομαι εἴς τι, ὑπὸ τῶν ἐπεισφοιτώντων νοημάτων ἔξωθεν Φίλων 1. 615.

ἐπεισφορά, ἡ, καταδίκη, Σουΐδ., καθ' 'Ησύχ. δὲ (σ. 1392) «ἐπεισφοραί· δῶρα, ξένια, καταδίκαι».

ἐπεισφορέω, = ἐπεισφρέω, Φίλων I. 468, 34.

ἐπεισφρέω (ἴδε εἰσφρέω), ἐπεισάγω, καὶ πῶς ἐπεισφρῶ τήνδε τῷ κείνης λέχει; Εὐρ. Ἄλκ. 1056· λέκτροις τ' ἐπεισέφρησε ὁ αὐτὸς ἐν Ἠλ. 1033· ὄφεις ἐπεισέφρησε σπαργάνοις ὁ αὐτὸς ἐν Ἡρ. Μαιν. 1267· — μετοχὴ τις ἀορ. ἐπεισφρεὶς (ὡς εἰ ἐκ ῥήμ. ἐπεισπίφρημι) ἀπαντᾷ παρὰ τῷ αὐτῷ ἐν Ἀποσπ. 781. 46. **II.** ἀμετάβ., ἐπεισέρχομαι, Σουΐδ., Εὐστ. Πονημάτ. 104. 11, κλπ.

ἐπείσφρησις, ἡ, ἔνεσις, εἰσαγωγή, γέγονε τὰ στοιχεῖα τῇ ἐπεισφρήσει τῶν ποιοτήτων Ἰωάνν. Διακ. Ἀλληγ. εἰς Ἡσ. Θεογ. σ. 437 Gaisf.

ἐπεισφρητέον, ῥηματ. ἐπίθ. τοῦ ἐπεισφρέω, δεῖ ἐπεισφρεῖν, Ζαχαρ. Μυτιλ. 89. 4.

ἐπεισχέω: μέλλ. -χεῶ, = εἰσχέω, ἀθρόον εἰς τὸν νοῦν ἐπεισέχεε Φίλων 1. 150. 25. — Παθ., ἐπὶ πλήθους, εἰσρέω, εἰσορμῶ, τοὺς ἐπεισχεομένους πάντας ἀπ' εὐνοίας ἥκειν συμμάχους Ἰωσήπου Ἰουδ. Πόλ. 4. 3, 3. — Κατὰ Σουΐδ. «ἐπεισχέω, ἐπεισβάλλω».

